CODICES E VATICANIS SELECTI

PHOTOTYPICE EXPRESSI

IVSSV

PII PP. X

CONSILIO ET OPERA CVRATORVM

BIBLIOTHECAE VATICANAE.

VOLUMEN VIII

IL MENOLOGIO

DI BASILIO II

(COD. VATICANO GRECO 1613)

II

TAVOLE

TORINO
FRATELLI BOCCA - EDITORI

MDCCCCVII

EXEMPLAR

E CENTVM QVAE PERFECTA SVNT

N 78

AUGUSTA TAURINORUM IN OFFICINA PHOTOTYPICA Ing. G. MOLFESE

ELENCHVS

Sanctorum qui in hoc Menologio continentur

A

Cel

D.

G.

G

H

I.

L.

M.

Marcelli

Polyeucti

Theopisti,

V.

X.

Z.

LEO Allatius concinnabat.

Ἐντεῦθεν ἂν νῦν σκόπησον ὀρθῶς ὁ βλέπων.
ἄριστον ἔργον ἐξ ἀρίστων πραγμάτων·
ἔργον θ' ὃ κάλλιστον ἐκπλήττον φρένας·
ἔργον τὸ τερπνὸν πᾶσαν εἰκότως κτίσιν·
ἄνω γὰρ αὐτοῖς ὡς θ(εὸ)ς καὶ δεσπότης,
ἄστρων χορείαις ζωγραφήσας τὸν πόλον·
ὃν οἷα δέρριν ἐξέτεινε τῷ λόγῳ,
κόσμον δᾳδουχεῖ πανσόφῳ προμηθίᾳ·
Κάτω δ' ὁ τοῦτον εἰκονίζων τοῖς τρόποις·
ἄναξ ὅλης γῆς ἥλιος τῆς πορφύρας·
βασίλειος τὸ θρέμμα τῆς ἀλουργίδος·
κράτιστος ἀμφοῖν καὶ τροπαίοις καὶ λόγοις·
ὡς ἄλλον ὄντως οὐρανὸν τεύξας βίβλον·
ἐκ δέρρεων τεθεῖσαν ὡς ἔχει φύσις·
φέρουσαν ὡς φωστῆρας ὡραίους τύπους·
πρῶτον μὲν αὐτοῦ τοῦ θεανθρώπου λόγου·
ἔπειτα μητρὸς τῆς τεκούσης ἀσπόρως·
σοφῶν προφητῶν· μαρτύρων· ἀποστόλων·
πάντων δικαίων· ἀγγέλων· ἀρχαγγέλων,
τῶν ὀρθοδόξων πᾶσαν εὐφραίνει φρένα·
τέρπει δὲ πᾶσαν τερπνότητι καὶ θέαν·
Ἀλλοὺς περιεικόνισεν ἐκ τῶν χρωμάτων,
εὐροιβοηθοὺς πάντας ἐκ τῶν πραγμάτων·
κραταιοὺς συνεργούς· συμμάχους ἐν ταῖς μάχαις·
παθῶν λυτρωτάς· φαρμακευτὰς τῶν νόσων·
ἐν τῇ κρίσει πλέον δὲ πρὸς τὸν δεσπότην·
θερμοὺς μεσίτας· προξένους καὶ τῆς ἄνω
δόξης ἀφράστου καὶ θ(εο)ῦ σκηπουχίας :·

✠ ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.
ΚΑΙ ΑΡΧΗ ΤΗΣ ΙΝΔΙΚΤΟΥ:

... ζωγράφου
Παντολέοντος·

Τὴν ἰνδικτον ἑορτάζει ἡ τοῦ θ̄υ ἐκκλησία ἀπὸ τῶν ἀρχαίων
παραλαβοῦσα. διὰ τὸ νομίζεσθαι ἀρχὴν εἶναι τοῦ χρόνου ἀ-
πὸ ταύτης τῆς ἡμέρας· ἐπειδὴ ἰνδικτον λέγουσιν οἱ ῥωμαῖοι.
τὴν ἀρχὴν καὶ τὸν ὁρισμόν· ὅτι γοῦν καὶ ἡ πρώτη ἡμέρα
τοῦ σεπτεμβρίου μηνὸς. ὁρισμὸς καὶ ἀρχὴ τοῦ ὅλου ἔτους· ἐ-
πεὶ δὲ χ̄ς ὁ θ̄ς ἡμῶν· βουληθεὶς ἐπευλογῆσαι τὴν ἀρχὴν τοῦ
χρόνου· μᾶλλον δὲ ὅλον τὸν χρόνον ὁ αὐτὸς πρὸ τῶν αἰώνων
ἐποίησεν· εἰσῆλθεν εἰς τὴν συναγωγὴν τῶν ἰουδαίων· καὶ
ἐπεδόθη αὐτῷ βιβλίον ἡσαΐου τοῦ προφήτου· καὶ ἀνοίξας
αὐτὸ εὗρε τὸν τόπον ὅπου ἦν γεγραμμένον· πν̄α κ̄υ ἐπ' ἐμέ·
οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ
με· κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν·
κηρύξαι ἐνιαυτὸν κ̄υ δεκτόν· καὶ ἀποδοὺς τὸ βιβλίον
τῷ ὑπηρέτῃ ἐκάθισεν, ἐκ τότε ἐχαρίσατο ἡμῖν τοῖς
χριστιανοῖς τὴν ἁγίαν ἑορτὴν ταύτην· ἣν καὶ προ-
θύμως ἑορτάζομεν. ἀρχ(ὴ) τοῦ μηνὸς αὐτοῦ ∴

ΜΗΝΙ CΕΠΤΕΜΒΡΙΩ Α̅. ΜΝΗΜΗ ΤΟΥ ΟCΙΟΥ ΠΡC
ΗΜΩΝ CΥΜΕΩΝ ΤΟΥ CΤΥΛΙΤΟΥ

Ὁ ὅσιος συμεὼν. ἐγένετο ἀπὸ ἀντιοχείας τῆς συρίας· νέος δὲ
ὤν. προσετάγη παρὰ τῶν γονέων αὐτοῦ ποιμαίνειν πρόβατα·
ἀργήσας δέ ποτε διὰ τὸν χειμῶνα τοῦ μὴ ποιμαίνειν τὰ
πρόβατα. ἀπῆλθεν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ προσεύ-
ξασθαι· καὶ κατὰ συγκυρίαν ἤκουσε τοῦ ἁγίου εὐαγγελίου
ἀναγινωσκομένου· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστὶν
ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ἀφῆκε γονεῖς καὶ πάντα. καὶ
ἀπῆλθεν εἰς τὴν λαύραν τὴν λεγομένην μάνδραν. καὶ ἐγένετο
μοναχὸς ἐπὶ τῆς βασιλείας λέοντος τοῦ μεγάλου· ὅπου καὶ τὸ
πρῶτον [illegible] καὶ πάντας τοὺς μοναχοὺς ἐν πάσαις
ἀρεταῖς νικήσας· καὶ τὸ σῶμα αὐτοῦ [illegible] καταξηρά-
νας· καὶ γὰρ ἐνήστευεν ἡμέρας τεσσαράκοντα· τὰς μὲν ὅλας
ἱστάμενος· τὰς δὲ εἴκοσι καθεζόμενος διὰ τὸν κόπον. ὕστερον
ἀνῆλθεν ἐπὶ κίονα· καὶ μυρία θαύματα ποιήσας· καὶ μέγας
γενόμενος εἰς πάντας ἀνθρώπους· καὶ πολλοὺς [illegible]
ἔτη τεσσαράκοντα [illegible] ἐν εἰρήνῃ ἐτελειώθη.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. Η ΚΟΙΜΗΣΙΣ ΙΗΣΟΥ ΤΟΥ ΝΑΥΗ

Οὗτος ὁ Ἰησοῦς, ἐγένετο μὲν υἱὸς τοῦ Ναυῆ· διάδοχος δὲ Μωϋσέως
τοῦ νομοθέτου τῶν Ἑβραίων· ἀνὴρ ἀνδρεῖος καὶ στρατηγικός·
καὶ γὰρ τὴν Ἱεριχὼ πόλιν οὖσαν ἰσχυρὰν τῶν ἀλλοφύλων
παρέλαβε· καὶ τὸν ποταμὸν Ἰορδάνην διαξηράνας διεπέ-
ρασε τὸν λαὸν καὶ τὴν κιβωτὸν τοῦ θεοῦ· καὶ τὸν ἀρχι-
στράτηγον Μιχαὴλ ἐθεάσατο, κρατοῦντα ῥομφαίαν· ὃν
γνωρίσας αὐτὸν ἔρριψε τὰ ἴδια ὅπλα. καὶ [illegible] τοὺς πό-
δας αὐτοῦ ἑστὼς· τῇ προστάξει τοῦ ὀφθέντος· πολεμῶν δὲ
τοῖς ἀλλοφύλοις καὶ τοῦ ἡλίου πρὸς δύσιν ὄντος· [illegible]
μίαν τοῦ νικῆσαι αὐτοῖς, ἐθάρρησεν εἰς τὸν θεὸν καὶ εἶπεν· στή-
τω ὁ ἥλιος· καὶ εὐθέως ἔστη ὁ ἥλιος καὶ οὐκ ἔδυνεν, ἕως
ἐξέκοψε τοὺς ἐχθροὺς αὐτοῦ κατακράτος· στρατηγήσας δὲ τοῦ
λαοῦ καὶ διαφυλάξας αὐτοὺς ἐκ τῆς ἐρήμου καλῶς· καὶ ἀπαγαγὼν
εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἥτις ἐστὶν Ἱερουσαλήμ· καὶ
κρίνας τὸν λαὸν τοῦ Ἰσραὴλ εἴκοσι καὶ ἑπτὰ ἔτη ἐτελεύτησε·
καὶ ἐτάφη μετὰ τιμῆς ἐν αὐτῇ τῇ γῇ ὑπὸ τοῦ ἰδίου λαοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων τεσσαράκοντα
παρθένων, καὶ Ἀμμοῦν διακόνου τοῦ διδασκάλου αὐτῶν:

Τῶν τεσσαράκοντα τούτων παρθένων καὶ μαρτύρων τὸ πλῆθος
ἐγένοντο ἀπὸ Ἀδριανουπόλεως τῆς Μακεδονίας· διδάσκαλον
δὲ ἔχουσαι τῆς πίστεως Ἀμμοῦν τὸν διάκονον, ἐμαθήτευσαν αὐτῷ.
καὶ ἐπὶ τῆς βασιλείας τῶν Ῥωμαίων διὰ τοῦτο καὶ ἐκρατήθη-
σαν παρὰ τοῦ τῆς αὐτῆς πόλεως ἄρχοντος· καὶ πολλὰ ἐτιμωρή-
θησαν. διὰ τὸ μὴ προσκυνῆσαι τοῖς εἰδώλοις· εἶτα ἤχθησαν
εἰς Ἡράκλειαν τοῦ θῦσαι· ἔνθα προσηύξαντο πρὸς τὸν Θεόν. καὶ ἐ-
κρεμάσθη ἐκ τοῦ μαρμάρου ὁ ἱερὸς τῶν εἰδώλων· καὶ πεσὼν ἀπέθα-
νε· καὶ μετὰ τοῦτο ἐκρεμάσθη ὁ ἅγιος Ἀμμοῦν. καὶ ἐξέσθη τὰς
πλευράς· καὶ κασσίδα πεπυρωμένην ἐδέξατο κατὰ κεφα-
λῆς· εἶτα παρεδόθη μετὰ τῶν παρθένων Λικιννίῳ τῷ
τυράννῳ· ὁ δὲ ἐδωκε ἀπόφασιν κατ' αὐτῶν· καὶ αἱ μὲν δέκα
διὰ πυρὸς ἐτελειώθησαν· αἱ δὲ ὀκτὼ μετὰ τοῦ διδασκάλου αὐ-
τῶν ἀπεκεφαλίσθησαν· καὶ αἱ δέκα ξίφη κατὰ τοῦ στόμα-
τος καὶ τῆς καρδίας δεξάμεναι, ἐτελεύτησαν· αἱ δὲ ἑπτὰ μαχαι-
ρῶν κατεκόπησαν· καὶ αἱ ἑπτὰ σίδηρα πεπυρωμένα κατὰ τὸ στόμα δεξάμεναι
ἀπέθανον:-

✠ Μηνὶ τῷ αὐτῷ β΄. ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος ⁘

Μάμας ὁ περιβόητος μάρτυς, ἦν μὲν ἐπὶ Αὐρηλιανοῦ Καίσαρος Ῥωμαίων· ὀρφανὸς δὲ καταλειφθεὶς τῶν γονέων αὐτοῦ τελευτησάντων ἐν φυλακῇ διὰ τὸν χριστιανισμόν, ἀνετράφη παρὰ Ματρώνας τινὸς εὐσεβοῦς συγκλητικῆς· γενόμενος δὲ τῆς ἐννόμου ἡλικίας, ἠναγκάζετο θύειν τοῖς εἰδώλοις παρὰ τῶν εἰδωλολατρῶν· μὴ πεισθεὶς δέ, ἀλλ' ὑπὸ θείου ἀγγέλου ἀναχθεὶς ἐν τῷ ὄρει, τὰς ἐλάφους ἀμέλγων διετρέφετο· καὶ μόνος τῷ Θεῷ προσευχόμενος διετέλει· ἕως ἂν ἐκρατήθη· πολλὴ γὰρ ἐγένετο ἡ περὶ αὐτοῦ φήμη. ἠναγκάσθη ὑπὸ τοῦ τῆς Καισαρείας ἄρχοντος προσκυνῆσαι τὰ εἴδωλα· ἐπεὶ δὲ οὐκ ἐπείσθη, εἰς πῦρ ἐμβληθεὶς καὶ ἐξελθὼν [illegible]· καὶ θηριομαχήσας καὶ μηδὲν ἀδικηθεὶς, τέλος κονταρίῳ πληγεὶς, καὶ κατέχων τὰ ἔντερα αὐτοῦ ταῖς ἰδίαις χερσίν· ἐξεχύθησαν γὰρ ὑπὸ τῆς πληγῆς ἐκ τῆς κοιλίας αὐτοῦ· ἐξῆλθε τῆς πόλεως Καισαρείας· καὶ μετ' εὐχαριστίας παρέδωκε τῷ Θεῷ τὴν ψυχὴν καὶ μακαρίαν αὐτοῦ τύχην· καὶ ἐτάφη ἐν τῇ αὐτῇ πόλει :~

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΝΗΣΤΕΥΤΟΥ·

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ ἐπικληθεὶς νηστευτὴς ἐγεννή-
θη μὲν ἐν Κωνσταντινουπόλει· ἐπὶ χρόνων δὲ Ἰουστίνου καὶ Τι-
βερίου καὶ Μαυρικίου τῶν βασιλέων· χαράκτης δὲ ὢν τὴν
τέχνην, διὰ τὴν πολλὴν αὐτοῦ ἀρετὴν, πατριάρχης γέγονε τῆς
αὐτῆς μεγαλοπόλεως· ἦν δὲ φιλόπτωχος καὶ ἐλεήμων καὶ
συμπαθής· ἀλλὰ καὶ πολλὰ θαύματα ἐποίησε· καὶ γὰρ διὰ
προσευχῆς, Ἀβαρικὸν λαὸν ἐκ τῆς Μακεδονίας ἀπεδίωξε·
καὶ μεγάλου θανατικοῦ τὴν πόλιν ἐρρύσατο· καὶ πολλοὺς νο-
σοῦντας ἐθεράπευσε· καὶ δαιμονῶντας ἰάσατο· καὶ λόγους
ψυχωφελεῖς ὡς ὁ μέγας Χρυσόστομος Ἰωάννης συνεγράψατο [illegible]
ποιμάνας δὲ τὸν λαὸν αὐτοῦ ὁσίως καὶ φιλοθέως· καὶ τὴν ἱε-
ρὰν ἐκκλησίαν καλῶς διακυβερνήσας ἐπὶ ἔτη δέκα καὶ τρία
καὶ μῆνας πέντε· καὶ εἰς βαθὺ γῆρας ἐλθὼν, ἐν εἰρήνῃ
τὴν μακαρίαν καὶ ἁγίαν αὐτοῦ ψυχὴν παραδοὺς τῷ Κυρίῳ ἐ-
τάφη· ὑπόδειγμα καταλιπὼν πᾶσι [illegible]
τὸν ἐνάρετον αὐτοῦ βίον καὶ τὰ λοιπὰ κατορθώματα +

Μηνὶ τῷ αὐτῷ γ΄. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος
Ἀνθίμου ἐπισκόπου Νικομηδείας:

Ἄνθιμος ὁ ἱερομάρτυς ἦν μὲν ἐπίσκοπος Νικομηδείας
ἐπὶ τῶν χρόνων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ· διὰ
δὲ τὸν διωγμὸν τῶν χριστιανῶν κρυπτόμενος ἐν τῷ ὄρει.
Καταμηνύεται τῷ Μαξιμιανῷ· καὶ κρατηθεὶς πρῶτα μὲν
λίθοις τὰς σιαγόνας συντρίβεται· ἔπειτα σιδηροῖς πεπυ-
ρακτωμένοις τοὺς ἀστραγάλους διατρυπᾶται· εἶτα πάλιν
εἰς ὄστρακα καὶ ὀξέα τίθεται. ῥάβδοις τυπτόμενος ἀκανθί-
ναις· καὶ ὑποδήματα σιδηρᾶ πυρακτωθέντα περιβάλ-
λεται μέχρι τῶν μηρῶν· καὶ μετὰ τοῦτο δεσμεῖται ἐπὶ τροχοῦ.
Καὶ ὑπὸ λαμπάδων καίεται· οὕτως δὲ τῶν κρεῶν κατασπαραζομέ-
νου τοῦ ἁγίου. ἐπῆλθον ἄγγελοι θεῖοι· αὐτῷ μὲν τὰς κολάσεις
καὶ τὰς βασάνους ἀκόλους ποιοῦντες· τοὺς δὲ δημίους
τοὺς τιμωροῦντας αὐτὸν ἀοράτως τύπτοντες· καὶ λοιπὸν
ἀποφάσει Μαξιμιανοῦ τέμνεται τὴν κεφαλὴν μαχαίρᾳ·
καὶ κεῖται μὲν ἐν Νικομηδείᾳ· θαυματουργεῖ δὲ ἄλλα
τε πολλὰ, καὶ δὴ καὶ τὴν τῶν τριχῶν παράδοξον ἔκφυσιν:–

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας παρθένου καὶ μάρτυρος Βασιλίσσης·

Βασίλισσα ἡ μάρτυς, ἦν μὲν ἐπὶ τῶν χρόνων Διοκλητιανοῦ· εἶχε
δὲ τὴν οἴκησιν πλησίον τῆς πόλεως Νικομηδείας· ἐννεαέτων
ὑπάρχουσα· διαβληθεῖσα δὲ ὡς χριστιανή, παρεδόθη Ἀλεξάν
δρῳ τῷ ἄρχοντι· καὶ μετὰ παρρησίας ὁμολογήσασα τὸν Χριστόν,
πρῶτα μὲν τύπτεται κατὰ τοῦ προσώπου· καὶ γυμνωθεῖσα,
ῥαβδίζεται· εἶτα τρυπῶνται τοὺς ἀστραγάλους· καὶ κρεμασθεῖ
σα κατὰ κεφαλῆς ἐπὶ ξύλου δεδεμένη ἀμύσσεται, μετὰ πίσσης
καὶ θείου καὶ μολύβδου καπνίζεται· καὶ μετὰ τοῦτο ἐμβλη
θεῖσα εἰς πῦρ· καὶ δυσὶ λέουσι παραδοθεῖσα· καὶ διαμείνα
σα ἀβλαβής, ἔπεισε τὸν ἄρχοντα πιστεῦσαι εἰς τὸν Χριστόν· καὶ
αὐτὸς μὲν καλῶς ποιήσας, ἐν εἰρήνῃ ἐτελειώθη· αὐτὴ δὲ
ἐξελθοῦσα τῆς πόλεως καὶ διψήσασα, ηὔξατο· καὶ ἐξῆλ
θεν ὕδωρ ἐκ τῆς γῆς· καὶ ἐπ' ἐκεῖ στᾶσα ἐπάνω πέτρας καὶ
εὐξαμένη, ἐτελεύτησεν· ἐνταῦθα καὶ ἐτάφη· ἰάματα
πᾶσι τοῖς πιστοῖς καθεκάστην διὰ τῶν ἐκ τῆς γῆς
ἀναβλυσάντων ὑδάτων παραδόξως παρέχουσα:–

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀριστίωνος ἐπισκόπου Ἀλεξανδρείας·

Ὁ ἱερομάρτυς Ἀριστίων, ὑπῆρχε μὲν ἐπίσκοπος Ἀλεξανδρείας· ἐδίδασκε δὲ παρρησίᾳ καὶ ἐκήρυττε τὴν τοῦ δεσπότου ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ ἔνσαρκον παρουσίαν· καὶ τὴν αἰώνιον αὐτοῦ βασιλείαν· ἔτι δὲ, τὴν μακαριότητα καὶ χαρὰν τῆς τῶν οὐρανῶν βασιλείας· καὶ ὅπως ἡ μὲν τῶν ἀνθρώπων δόξα καὶ τὰ ἀξιώματα καὶ ὁ πλοῦτος, ἐν φθορᾷ ὑπάρχουσι καὶ ἀφανίζονται· ἄφθαρτα δὲ τὰ ἐκεῖ ἀγαθά. καὶ ἡ ζωὴ ἀθάνατος· οὕτω διδάσκων, καὶ πολλοὺς τῶν ἑλλήνων πείθων καὶ πρὸς τὸν Θ(εὸ)ν ἐπιστρέφων καὶ βαπτίζων· ἐκρατήθη παρὰ τοῦ τῆς Ἀλεξανδρείας ἄρχοντος· Καὶ ὁμολογήσας τὸν Χ(ριστὸ)ν, παρεδόθη πυρί· Καὶ οὕτως ἐν τῇ καμίνῳ ὡς οἱ τρεῖς ἅγιοι παῖδες δοξάζων καὶ μεγαλύνων τὸν Θ(εὸ)ν, τὸ μακάριον καὶ ποθούμενον τέλος ἐδέξατο· ἀπολαμβάνων τὸν στέφανον τῆς ἀφθάρτου ζωῆς· Καὶ τὸ μὲν τίμιον αὐτοῦ λείψανον, παρεδόθη τῇ γῇ· ἡ δὲ ἁγία αὐτοῦ ψυχὴ ἀνελθοῦσα ἐν οὐρανοῖς, μετὰ τῶν ἀγγέλων εὐφραίνεται·

1.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΒΑΒΥΛΑ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Κ(ΑΙ) ΤΩΝ ΣΥΝ ΑΥΤΩ ΝΗΠΙΩΝ:

Ὁ ἅγιος ἱερομάρτυς τοῦ Χ(ριστο)ῦ Βαβύλας πατριάρχης ἦν Ἀντιοχείας τῆς μεγάλης. ἐπὶ Νουμεριανοῦ τοῦ Ῥωμαίων βασιλέως. θέλοντα δὲ εἰσελθεῖν ἔσω τὸν ναὸν τοῦ Θ(εο)ῦ τὸν Νουμεριανόν. ὑπαντήσας ἔξω τὴν πύλην τῆς ἐκκλησίας. ἐκώλυσε τοῦ εἰσελθεῖν· διὰ τὸ ὑπάρχειν αὐτὸν εἰδωλολάτρην· ὁ δὲ αἰσχυνθεὶς ὁ βασιλεὺς καὶ ὀργισθείς. ἤγαγεν αὐτὸν ἐπὶ τὴν αὔριον ἐνώπιον αὐτοῦ· καὶ καταναγκάσας ἀρνήσασθαι τὸν Χ(ριστό)ν· καὶ μὴ πείσας· ἀλλὰ μᾶλλον ἐλεγχθεὶς ὑπ' αὐτοῦ. ἐκέλευσε περιτεθῆναι τῷ τραχήλῳ αὐτοῦ σίδηρα καὶ βαρέα. καὶ διὰ τῆς μέσης ἕλκεσθαι· καὶ λέγει αὐτῷ· καὶ τοῖς θεοῖς θῦσαι. πρέπει σοι ὁ κλοιός· ὁ δὲ ἔφησεν· οὕτως μοι πρέπει βασιλεῦ. ὥσπερ σοὶ τὸ διάδημα· τότε ἀπεφήνατο ὁ Νουμεριανὸς κατ' αὐτοῦ καὶ τῶν διδασκομένων ὑπ' αὐτοῦ παιδίων· καὶ λαβόντες αὐτὸν οἱ στρατιῶται. ἀπέσφαξαν· καὶ οὕτως ἐτάφη ὁ ἅγιος παρὰ τῶν χριστιανῶν ἔξω τῆς πόλεως Ἀντιοχείας μετὰ τῶν περικειμένων αὐτῷ κλοιῶν. οὓς διὰ Χ(ριστὸ)ν ἐφόρεσεν:-

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΘΕΟΔΩΡΟΥ· ΩΚΕΑΝΟΥ· ΑΜΜΙΑΝΟΥ, ΚΑΙ ΙΟΥΛΙΑΝΟΥ·

Οὗτοι οἱ ἅγιοι μάρτυρες, ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· κρατηθέντες δὲ καὶ ἐρωτηθέντες, ὡμολόγησαν τὸν δεσπότην Χριστόν· καὶ διὰ τοῦτο κρεμασθέντες, ἐξέσθησαν μέχρις ὀστέων· ἔπειτα ἐνεβλήθησαν εἰς λουτρὸν ἐκπυρωθὲν ἰσχυρῶς καὶ ἀσφραγισθὲν τῇ σφραγῖδι τοῦ βασιλέως· διὰ τὸ μὴ ἐξελθεῖν αὐτοὺς ἀπ' αὐτοῦ, ἀλλ' ἀποθανεῖν ἐν αὐτῷ· ἄγγελος δὲ Κυρίου ἐξήγαγεν αὐτοὺς ἀβλαβεῖς, ἠσφαλισμένων καὶ ἐσφραγισμένων τῶν θυρῶν· καὶ πάλιν κρατηθέντες, ἀπάγονται ἔξω τῆς πόλεως ἐν ἐρήμῳ τόπῳ τοῦ πικρῶς φονευθῆναι· αἰτησάμενοι δὲ ὥραν προσευχῆς χαρίσασθαι αὐτοῖς τοὺς δημίους· καὶ τυχόντες τῆς αἰτήσεως, στάντες ἐπὶ πολὺ προσηύξαντο τῷ Θεῷ, ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως καὶ τῶν ἁγίων ἐκκλησιῶν· καὶ εὐχαρίστησαν αὐτῷ, ὅτι ἠξιώθησαν τοῦ μαρτυρῆσαι δι' αὐτόν· καὶ οὕτω κατακοπέντες πάντα τὰ μέλη, καὶ τὰ σκέλη συντριβέντες, ἐνεβλήθησαν εἰς πῦρ, καὶ οὕτως ἐτελειώθησαν:

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας μάρτυρος Ἑρμιόνης θυγατρὸς τοῦ ἁγίου Φιλίππου τοῦ ἀποστόλου.

Ἡ ἁγία μάρτυς Ἑρμιόνη· ὑπῆρχε μὲν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως· ἦν δὲ θυγάτηρ Φιλίππου τοῦ ἀποστόλου· ἦν δὲ αὐτῇ ἀδελφὴ καλουμένη Εὐτυχής· καὶ παρεγένοντο αἱ δύο εἰς Ἔφεσον, προσκυνῆσαι τὸν θεολόγον Ἰωάννην, καὶ οὐχ εὗρον αὐτόν· μετετέθη γὰρ ἤδη· ἐλθὼν δὲ καὶ Τραϊανὸς ὁ βασιλεὺς εἰς Ἔφεσον πρὸς τὸν κατὰ τῶν Περσῶν πόλεμον, εὗρε τὸ ὄνομα τῆς ἁγίας Ἑρμιόνης μέγα ἐπ' εὐσεβείᾳ· καὶ γὰρ ἦν προφητεύουσα· καὶ κρατήσας αὐτήν· καὶ καταναγκάσας ἀρνήσασθαι τὸν Χριστὸν, οὐκ ἔπεισε· κελεύει τύπτεσθαι αὐτὴν κατὰ τοῦ προσώπου· ἐπιφανεὶς δὲ ὁ Κύριος ἐνίσχυσεν αὐτὴν καρτερεῖν πρὸς τὰς βασάνους· μετὰ ταῦτα δὲ προφητεύουσα περὶ Τραϊανοῦ ὅτι νικήσει τοὺς Πέρσας, τότε μὲν ἀπελύθη· μετὰ δὲ Τραϊανὸν κρατήσας τῆς βασιλείας ὁ γαμβρὸς αὐτοῦ Ἀδριανὸς, κατέσχεν αὐτήν· καὶ καταναγκάσας ἀρνήσασθαι μὲν τὸν Χριστὸν, θῦσαι δὲ τοῖς εἰδώλοις· καὶ μὴ πείσας, προσέταξεν ἀποκεφαλισθῆναι· ξηρανθεισῶν δὲ τῶν χειρῶν τῶν δημίων, [illegible]· καὶ οὕτως αὐτὴ ἀπεκεφαλίσθη.

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου Μωσέως τοῦ νομοθέτου·:

Μωϋσῆς ὁ προφήτης καὶ νομοθέτης. γέγονε μὲν ἐκ γένους τῶν Ἑ-
βραίων. γεννηθεὶς ἐν Αἰγύπτῳ. ἐπειδὴ δὲ πρόσταγμα ἦν τοῦ Φα-
ραὼ βασιλέως Αἰγύπτου· τὰ μὲν θήλεα τῶν Ἑβραίων βρεφῶν
περιποιεῖσθαι· τὰ δὲ ἄρρενα καὶ φονεύεσθαι· ἐμβληθεὶς εἰς κιβω-
τάριον ἡ μήτηρ αὐτοῦ τὸν Μωϋσῆν. καὶ ἐρρίφθη εἰς ποταμόν· καὶ
τρυφῶσα δὲ ἡ θυγάτηρ Φαραώ. λούσασθαι εἰς τὸν ποταμόν· καὶ
ἰδοῦσα τὸ κιβωτάριον καὶ τὸ παιδίον ἐν αὐτῷ Ἑβραῖον. ἀνελάβετο
αὐτὸ εἰς υἱόν· καὶ ἐδίδαξεν αὐτὸ πᾶσαν σοφίαν Αἰγυπτίων· ἀνῆ-
θεν δὲ αὐτῷ. ὀφθεὶς ὁ θ(εό)ς· καὶ προσέταξεν ἐξαγαγεῖν τὸν λαὸν
τῶν Ἑβραίων ἐκ τῆς Αἰγύπτου· ἐξαγαγὼν οὖν τὸν λαόν· καὶ πολ-
λὰ σημεῖα καὶ τέρατα ποιήσας· καὶ θάλασσαν τεμών· καὶ
διὰ ξηρᾶς περάσας· καὶ πέτραν τῇ ῥάβδῳ κρούσας· καὶ ὕδωρ
ἐξ αὐτῆς ἀναβλύσαι ποιήσας· καὶ τεσσαράκοντα ἔτη στρατη-
γήσας. πρὸ τῶν χιλίων τετρακοσίων ὀγδοήκοντα ἐτῶν τῆς
τῶν ... καταπαύσεως. ἐτελεύτησε· καὶ ἐτάφη ἐν ὄρει τῷ τῆς
ἐρήμου. παρὰ Μιχαὴλ τοῦ μεγάλου ἀρχιστρατήγου τοῦ θ(εο)ῦ·:

Μηνὶ τῷ αὐτῷ ε΄. Μνήμη τοῦ ἁγίου προφήτου Ζα-
χαρίου, τοῦ πατρὸς Ἰωάννου τοῦ βαπτιστοῦ :

αι τοῦ βλα-
χερνίτου.

Ζαχαρίας ὁ ἱερεὺς ὁ πατὴρ Ἰωάννου τοῦ προδρόμου, ἐξ ἱερέων μὲν
καὶ αὐτὸς υἱὸς ἱερέως. εἰσελθὼν δὲ ἐν τῷ ναῷ τοῦ θυμιάσαι,
ὁρᾷ δὲ ἄγγελον θεοῦ ἑστῶτα πλησίον τοῦ θυσιαστηρίου τοῦ θυμιά-
ματος· καὶ μηνύοντα αὐτῷ τὴν σύλληψιν καὶ γέννησιν τοῦ
υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ βαπτιστοῦ· ἀπιστήσας δὲ, κωφὸς καὶ
ἄλαλος γέγονε· μετὰ δὲ τὸ γεννηθῆναι τὸν Ἰωάννην, ἐλάλη-
σεν· ἀκούσασα δὲ ἡ μήτηρ Ἰωάννου· ὅτι μέλλει Ἡρώδης ὁ τῶν
Ἰουδαίων βασιλεὺς· φονεύειν τὰ ἐν Βηθλεὲμ εὑρεθέντα βρέφη· βουλό-
μενος σὺν αὐτοῖς φονεῦσαι καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· τότε μετὰ
μῆνας ἐξ ζητήσας αὐτοὺς κυκλώσας. εὗρεν αὐτὸν ἐν τῷ σπηλαίῳ
πέραν τοῦ Ἰορδάνου· ἐπιζητήσας δὲ τοῦτον ὁ Ἡρώδης καὶ
μὴ εὑρών. προσέταξε σφαγῆναι τὸν πατέρα αὐτοῦ Ζαχαρίαν μέσον
τοῦ θυσιαστηρίου· ὅτι ἐκεῖ προσέφυγε φοβηθείς. καὶ χυθῆ-
ναι τὸ αἷμα αὐτοῦ εἰς τὸν ναόν· ἐσφάγη οὖν. καὶ ἐρρίφη παρὰ
τὸν ἐν τῷ ἱερῷ ναῷ· οἱ δὲ συγγενεῖς αὐτοῦ ἀναλαβόμενοι τὸ λεί-
ψανον αὐτοῦ. κατέθεντο ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ :-

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος ἀβδιοῦ ⁘

Ὁ ἅγιος μάρτυς αὐδιοῦ, ἦν μὲν ἐκ τῆς χώρας τῶν περσῶν· χριστιανὸς δὲ ὑπάρχων. ἐδίδασκε πάντας καὶ διὰ παραινέσεως ἔπειθε προσέρχεσθαι τῇ ἀληθινῇ πίστει τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ· κρατηθεὶς δὲ διὰ τοῦτο παρὰ τοῦ ἄρχοντος τῶν μάγων καὶ ἀναγκασθεὶς ἀρνήσασθαι μὲν τὸν χριστόν· προσκυνῆσαι δὲ τῷ ἡλίῳ καὶ τῷ πυρί· ταῦτα γὰρ ἔχουσι θεοὺς οἱ πέρσαι· καὶ μὴ πεισθείς, τύπτεται κατὰ τῆς κοιλίας καὶ τῶν ψυῶν μετὰ ῥαβδίων νευρίνων καὶ ἀκανθαρίων· καὶ οὕτως ἀπὸ πρωΐας ἕως μεσημβρίας τυπτόμενος καὶ τιμωρούμενος. ἀπηλλάγη βασταζόμενος παρὰ τῶν ἐνδημίων καὶ ἐτέθη ἐν τῷ οἴκῳ αὐτοῦ, ὥσπερ νεκρός· καὶ μετὰ μικρὸν παρέδωκε τῷ κυρίῳ τὴν ἁγίαν καὶ μακαρίαν αὐτοῦ ψυχήν· χαίρων καὶ ἀγαλλιώμενος μέχρι τῆς τελευταίας ἀναπνοῆς· ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μαρτυρῆσαι καὶ ἀποθανεῖν κατηξιώθη· μετὰ δὲ τοῦτο τὸ τίμιον αὐτοῦ λείψανον λαβόντες τινὲς τῶν χριστιανῶν, κατέθεντο ἐν τάφῳ:~

Τῇ αὐτῇ ἡμέρα, ἄθλησις τῶν ἁγίων μαρτύρων
Θουθαὴλ καὶ Βεβαίας τῆς ἀδελφῆς αὐτοῦ +

Ὁ ἅγιος καὶ πολύαθλος μάρτυς τοῦ Χριστοῦ Θουθαὴλ καὶ Βεβαία ἡ
ἀδελφὴ αὐτοῦ Χελιτιανοὶ ὄντες· καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ
παρρησίας ὁμολογοῦντες Θεὸν ἀληθινὸν εἶναι καὶ Κύριον τοῦ παν-
τὸς κόσμου καὶ δημιουργὸν καὶ προνοητήν· καὶ πολλοὺς ἐκ τῶν
Ἑλλήνων ἀπὸ τῆς πλάνης τῶν εἰδώλων ἀποστρέφοντες·
Καὶ πρὸς τὴν ἀληθινὴν πίστιν ἐπιστρέφοντες καὶ βαπτίζον-
τες· ἐκρατήθησαν παρὰ τῶν δυσσεβῶν εἰδωλολατρῶν· Καὶ
πολλὰ παρ' αὐτῶν τυφθέντες καὶ βασανισθέντες· τελευταῖον
ὁ μὲν ἅγιος Θουθαὴλ ἐπὶ ξύλου κρεμασθεὶς καὶ δεθείς· ἐσχίσθη
εἰς μέσον μετὰ σιδηροῦ πρίονος· καὶ οὕτως παρέδωκε τὴν
ψυχήν· ἡ δὲ ἀδελφὴ αὐτοῦ Βεβαία γυμνωθεῖσα πρότερον·
καὶ τυφθεῖσα ἰσχυρῶς· καὶ ζωσθεῖσα μέχρις ὀσφύος· ὕστερον
μετὰ τοῦ κονταρίου κατὰ τοῦ τραχήλου πληγὴν δεξα-
μένη· ἀπεσφάγη· τελειωθέντων δὲ οὕτως ἀμφοτέ-
ρων· τὰ σώματα αὐτῶν ἀναλαβόμενοι κρύφα οἱ παρ' αὐτῶν γε-
νόμενοι Χελιτιανοὶ ἔθαψαν ἐντίμως δοξάζοντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν:-

ΜΗΝΙ Τῶ ΑΥΤῶ Ϛ. ΑΝΑΜΝΗΣΙΣ ΤΟΥ ΕΝ ΧΩΝΑΙΣ ΘΑΥΜΑΤΟΣ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΡΧΙΣΤΡΑΤΗΓΟΥ ΤΟΥ ΘΥ·

τοῦ παντο
λέοντος

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΕΥΔΟΞΙΟΥ· ΡΩΜΥΛΟΥ· ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΩΝ·

Εὐδόξιος ὁ τοῦ Χριστοῦ μάρτυς· ὑπῆρχεν ἐπὶ Τραϊανοῦ βασιλέως
Ῥωμαίων κόμης τὴν τάξιν· ἔχων δὲ ὑφ' ἑαυτὸν στρατιώ-
τας μυρίους καὶ χιλίους· διέτριβεν ἐν Γαλλίᾳ τῇ χώρᾳ· Ῥω-
μύλος δὲ ὁ πραιπόσιτος τοῦ βασιλέως· συμβουλεύει ἐν
αὐτῷ ἀποστεῖλαι εἰς τὴν Γαλλίαν χώραν καὶ καταναγκά-
σαι τοὺς στρατιώτας χριστιανοὺς ὄντας· θῦσαι τοῖς θεοῖς·
Καὶ τούτου γενομένου· οὐκ ἐπείσθησαν θῦσαι· καὶ διὰ τοῦ-
το ἐξωρίσθησαν εἰς Μελιτηνὴν πόλιν τῆς Ἀρμενίας· εἶτα
μεταμεληθεὶς ὁ Ῥωμύλος καὶ πιστεύσας τῷ Χριστῷ καὶ τὸν Τρα-
ϊανὸν ἐλέγξας· ἀπεκεφαλίσθη· μετὰ δὲ ταῦτα κρατήσας
τῆς βασιλείας Μαξιμιανός· καὶ κελεύσας φονεύεσθαι
τοὺς χριστιανούς· προσέταξε διὰ γραμμάτων καὶ τοῖς τῆς
Μελιτηνῆς ἄρχουσι τοὺς τὸν Χριστὸν προσκυνοῦντας ἀναιρεῖν·
ὅθεν κρατήσας Εὐδόξιον τὸν κόμητα· καὶ τοὺς σὺν αὐτῷ
στρατιώτας· καὶ καταναγκάσας προσκυνῆσαι τοῖς εἰδώ-
λοις· καὶ μὴ πείσας· πολλὰ βασανίσας ἀπεκεφάλισεν:~

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων Φαύστου πρεσβυτέρου, Ἀβίβου διακόνου, καὶ τῆς συνοδίας αὐτῶν.

Οἱ ἅγιοι μάρτυρες Φαῦστος καὶ Ἄβιβος ὑπῆρχον ἐπὶ τῆς βασιλείας Δεκίου· ὁ μὲν πρεσβύτερος, ὁ δὲ διάκονος τῆς ἐκκλησίας Ἀλεξανδρείας· ὅτε καὶ Φλαβιανὸς ὁ πατριάρχης Ῥώμης καὶ Ἀλέξανδρος ὁ Ἱεροσολύμων ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν. Κρατηθέντες δὲ παρὰ τοῦ τῆς πόλεως Ἀλεξανδρείας ἄρχοντος, καὶ πολλὰ βασανισθέντες διὰ τὸ μὴ ἀρνήσασθαι τὸν Χριστόν, εἰς φυλακὴν ἐνεβλήθησαν· καὶ πάλιν ἐκβληθέντες κατηναγκάζοντο θύειν τοῖς θεοῖς· μὴ πεισθέντες δέ, ἀλλὰ καὶ ἐλέγξαντες τὸν ἄρχοντα, καὶ τὴν τῶν εἰδώλων πλάνην καὶ ματαιότητα ἀτιμάσαντες, τὰς κεφαλὰς ἀπετμήθησαν· τὸν ἀριθμὸν ὑπάρχοντες δέκα καὶ τρεῖς. Καὶ τὰς μὲν ἁγίας αὐτῶν ψυχὰς παρέθεντο εἰς χεῖρας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὑπὲρ δὲ ἡμῶν τῶν χριστιανῶν ἀκαταπαύστως πρεσβεύουσι· καὶ τοῖς πιστοῖς βασιλεῦσιν ἡμῶν κατὰ τῶν πολεμίων ἰσχυρῶς ἐνισχύουσιν εἰς δόξαν Χριστοῦ διὰ τὸ αἷμα ὃ ἐξέχεαν.

μηνὶ τῷ αὐτῷ ζ΄ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σώζοντος

Μάρτυς ὁ Σώζων ὑπῆρχεν ἐκ τῆς χώρας Λυκίας, ποιμὴν
προβάτων γενόμενος· ἀπελθὼν δέ ποτε εἰς δρυμῶνα
μέγαν ἐν ᾧ ἦν εἴδωλον, κατέλιπεν ἐν αὐτῷ τρεῖς σφί-
τας καὶ τὸ τόξον αὐτοῦ εἰς μνημόσυνον· καὶ διὰ τῆς προ-
σευχῆς αὐτοῦ ἐδέξατο ὁ τόπος ἰαμάτων θείων χαρίσμα-
τα· ἐδίδασκε δὲ τοὺς Ἕλληνας καὶ εὐαγγέλιζεν εἰς τὸ
ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· εἶτα εἰσελθὼν
εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ ἀφείλετο τὴν χρυσῆν χεῖρα
τοῦ εἰδώλου· καὶ συντρίψας αὐτήν, δέδωκε τοῖς πτω-
χοῖς· ἑτέρων [illegible] κρατουμένων διὰ τὴν χεῖρα τοῦ εἰ-
δώλου, αὐτόματος ἐλθὼν ὁ ἅγιος παρέδωκεν ἑαυτὸν
Μαξιμιανῷ τῷ ἄρχοντι· καὶ ὁμολογήσας τὴν ἀληθινὴν
πίστιν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, ὑποδέχεται ὑποδήματα
σιδηρᾶ μετὰ ἥλων [illegible]· καὶ φορέσας αὐτά, περιεπάτει
[illegible] τὸν θεόν· εἶτα κρεμασθεὶς ἐπὶ δένδρον καὶ τυ-
φθεὶς ἐτελειώθη· καὶ ἐνεβλήθη τὸ σῶμα αὐτοῦ εἰς κάμινον πυρός:–

✠ ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΕΥΨΥΧΙΟΥ·

Εὐψύχιος ὁ μάρτυς ὑπῆρχεν ἀπὸ Καισαρείας τῆς Καππαδοκίας· ἐπὶ Ἀδριανοῦ βασιλέως Ῥωμαίων· μετὰ δὲ τὴν τοῦ πρεσβυτέρου τελευτήν. καταζητεῖται ὑπὸ τοῦ ἐπάρχου τῆς Καισαρείας· καὶ διαβληθεὶς παρά τινων ὅτι Χριστιανός ἐστιν. ἐκρατήθη παρὰ τοῦ τῆς Καισαρείας ἄρχοντος· καὶ εἰς φυλακὴν ἐνεβλήθη· καὶ μετὰ ταῦτα ἐξελθὼν τῆς φυλακῆς· ἐπώλησε τὰ ὑπάρχοντα αὐτοῦ. πρῶτον μὲν δέδωκεν ἐξ αὐτῶν τοῖς κατηγόροις ὡς προξένοις γενομένοις αὐτῷ. τῆς τῶν οὐρανῶν βασιλείας· ἔπειτα τὰ λοιπὰ εἰς τοὺς πτωχοὺς διεσκόρπισε καὶ διένειμεν· Καὶ πάλιν κρατηθεὶς. παρεστάθη τῷ ἄρχοντι· καὶ κατηναγκάζετο θύειν τοῖς εἰδώλοις· καὶ μὴ πεισθεὶς. πρῶτον μὲν ἐκρεμάσθη ἐπὶ ξύλου· καὶ ἐξέσθη ἐπὶ τοσοῦτον. ὥστε φανῆναι πάντα τὰ ἔνδον τῶν σπλάγχνων αὐτοῦ· εἶτα ἀπὸ τοῦ ξύλου κατενεχθεὶς. [illegible] ξίφους πληγῇ ἐτελειώθη. παραδοὺς τὸ πνεῦμα τῷ κυρίῳ:~

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η· ΤΟ ΓΕΝΕΘΛΙΟΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ·

Ποιήσαντος τοῦ δημιουργοῦ θεοῦ ἡμῶν τοὺς ἀνθρώπους ἐπὶ ἔργοις
ἀγαθοῖς καὶ εἰς τὸ γνωρίζειν μόνον αὐτὸν καὶ ποιεῖν τὸ
θέλημα αὐτοῦ. ἐφθόνησεν ὁ διάβολος· καὶ πρῶτον μὲν
παραβάσει τὸν Ἀδὰμ παραινέσας, ἀπατηθέντα διὰ
τῆς αὐτοῦ γυναικὸς Εὔας· ἔπειτα ἔπεισε καὶ τοὺς λοι-
ποὺς ἀνθρώπους καταλιπεῖν τὸν θεὸν καὶ προσκυνεῖν τὰ εἴ-
δωλα ψυχαῖς· ἐλεήσας οὖν ὁ θεὸς τὸ πλάσμα αὐτοῦ, ἔ-
δωκε νόμον καὶ προφήτας· ἀλλὰ μηδὲν τούτων ὠφε-
λησάντων, ἠβουλήθη ἀποστεῖλαι τὸν υἱὸν αὐτοῦ καὶ μονογ(ενῆ)·
ἀναλαβεῖν ἀνθρώπου μορφήν, καὶ λυτρώσασθαι τοὺς ἀνθρώπους
ἐκ τῆς χειρὸς τοῦ διαβόλου· διὰ τοῦτο οὖν ὁ μονογενὴς ἐγεν-
νήθη μὲν τὴν μέλλουσαν γεννῆσαι σαρκὶ τὸν υἱὸν αὐτοῦ·
Μαρίαν τὴν ἄχραντον θεοτόκον, ἐξ ἀγόνων γενομένων Ἰωακεὶμ καὶ
Ἄννης· οἳ καὶ ὑπερεύχοντο προσευχόμενοι τῷ θεῷ δοῦναι καρπὸν
κοιλίας· ὅθεν καὶ καλεῖται γενέθλιον ἡ παροῦσα ἑορτή· ἣν
ἑορτάζομεν ἐτησίως εὐχαριστοῦντες κυρίῳ τῷ θεῷ ἡμῶν:–

23

μηνὶ τῷ αὐτῷ θ· μνήμη τῶν ἁγίων Ἰωακεὶμ καὶ Ἄννης τῶν γονέων τῆς θεοτόκου·

Ἐν τῷ λαῷ τῶν Ἰουδαίων, ἦν τις ἄνθρωπος Ἰωακεὶμ καλούμενος δίκαιος καὶ πλούσιος· καὶ κατὰ ἑορτὴν ἐχώριζεν ἐκ τοῦ πλούτου αὐτοῦ μοίρας δύο· καὶ τὴν μὲν μίαν μοῖραν, ἐδίδου τοῖς πτωχοῖς· τὴν δὲ ἑτέραν, τῷ θεῷ· ἦν δὲ ἄτεκνος· ἐν μιᾷ οὖν τῶν ἑορτῶν, προσέφερε τὰ δῶρα αὐτοῦ τῷ θεῷ· καὶ διότι οὐκ εἶχε παιδίον, ὠνειδίσθη παρὰ Ἰουδαίου τινὸς Ῥουβὶμ ὄντος πρὸς αὐτὸν ὅτι οὐ πρέπει σοι δῶρα προσφέρειν τῷ θεῷ μεθ' ἡμῶν, διότι ὑπάρχεις ἄτεκνος· ἐλυπήθη δὲ Ἰωακεὶμ, καὶ οὐχ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ· ἀλλ' ἀπελθὼν εἰς τὴν ἔρημον, ἐνήστευσεν ἡμέρας τεσσαράκοντα παρακαλῶν τὸν θεὸν δοῦναι αὐτῷ καρπὸν κοιλίας· προσηύχετο δὲ καὶ ἡ Ἄννα ἐν τῷ οἴκῳ αὐτῆς τὰ ὅμοια· καὶ ὁ θεὸς εἰσακούσας αὐτῶν ὁ θεὸς ἀπέστειλεν ἄγγελον, καὶ ὑπέσχετο αὐτοῖς τὴν γέννησιν τῆς ἁγίας δεσποίνης θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ὅπερ καὶ γέγονεν. ὑπὲρ σωτηρίας ὅλου τοῦ γένους τῶν ἀνθρώπων·

του μηνά.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Σευηριανοῦ

Σευηριανὸς ὁ μάρτυς· ὑπῆρχεν ἐκ τῆς πόλεως σεβαστείας·
στρατευόμενος ἐπὶ τῆς βασιλείας λικιννίου· ὅτε δὲ ἐκρα-
τήθησαν οἱ ἅγιοι τεσσαράκοντα μάρτυρες· καὶ ἀπεκλείσθη-
σαν ἐν τῇ φυλακῇ διὰ τὸν χριστόν· ἀπῄει δὲ πρὸς αὐτοὺς καὶ
παρεκάλει πρὸς τὸ μαρτύριον· διαγνωσθεὶς δὲ ἐκρατή-
θη καὶ παρέστη τῷ κριτηρίῳ λυσίου τοῦ δουκός· καὶ ὁμο-
λογήσας παρρησίᾳ τὸν χριστόν· καὶ τὴν πλάνην ἐλέγξας·
καὶ τῇ θυσίᾳ ἀντιταξάμενος· κρεμασθεὶς ἐν ὕψει [illegible]
[illegible]· καὶ ξεσθεὶς τὰς πλευράς· καὶ λαμπάσι κατα-
φλεχθείς· ἐκρεμάσθη ἐπὶ τείχους ὑψηλοῦ· σχοινίοις δε-
θείς· καὶ ἐνδεθεὶς ὁμοῦ τοὺς πόδας λίθοις μεγάλοις· δεδεμέ-
νος καὶ τὰς χεῖρας ὀπίσω· ἐπὶ πολὺ δὲ κρεμάμενος·
καὶ ταῖς πληγαῖς διασπώμενος· καὶ τῷ βάρει τῶν λί-
θων τὴν καρδίαν τεμνόμενος καὶ κοπτόμενος· ηὐχαρίστει
τῷ θεῷ καὶ προσηύχετο· καὶ οὕτω σκληρῶς [illegible]
ἐτελεύτησεν· εἰς χεῖρας θεοῦ τὸ πνεῦμα αὐτοῦ παραθέμενος:-

✠ Μηνὶ τῷ αὐτῷ ι΄. μνήμη τοῦ ἁγίου Βαριψαββᾶ ✠

Κατὰ τὸν καιρὸν ὅτε οἱ Ἰουδαῖοι διὰ φθόνον τὸν κ(ύριο)ν ἡμῶν Ἰ(ησοῦ)ν Χ(ριστὸ)ν ἐ-
σταύρωσαν, καί τις Ἰάκωβος ὀνόματι παρεστὼς τῷ σ(ταυ)ρῷ· ὅστις ἰ-
δὼν τὸν στρατιώτην τὸν ἐκκεντήσαντα μετὰ τοῦ κονταρίου
τὴν πλευρὰν τοῦ κ(υρίο)υ τὴν ἐκμύσασαν αἷμα καὶ ὕδωρ, δρα-
μὼν ἔλαβε κολόκυνθαν. καὶ ἐδέξατο ἐν αὐτῇ τὸ τίμιον αἷ-
μα. καὶ κατεῖχε κρύψας· καὶ τελευτῶν, κατέλιπεν αὐτὸ
δυσὶν ἐρημίταις ἀνδράσι· καὶ κατὰ γενεάν. ἦλθεν εἰς τὸν ὅσιον
λαμπρὸν μοναχὸν ὀνόματι Βαριψαββᾶν· τὸν δι᾽ αὐτοῦ πολλὰς
ἰάσεις ἐπιτελέσαντα· πρὸ δὲ τῆς τελευτῆς αὐτοῦ, λαβὼν
αὐτὸ τὸ ἅγιον αἷμα μετὰ τῆς κολοκύνθης, περιεβάδιζε καὶ
ταύτας πᾶσαν πόλιν καὶ χώραν θαυματουργῶν· ἰδόντες δὲ
αὐτὸν τινὲς τῶν ἐθνικῶν φθονούμενοι. καὶ νομίσαντες ὅτι ἐὰν
αὐτὸν φονεύσωσι καὶ λάβωσι τὴν κολόκυνθαν μετὰ τοῦ
τιμίου αἵματος κερδήσουσι χρήματα πολλά. νυκτὸς
ἐπελθόντες ἀπέκτειναν. καὶ ἔλαβον τὴν κολόκυνθαν·
μηδὲν νοῆσαι ἠδυνήθησαν εὑρόντες· κ(αὶ) οὕτω θανὼν παρέδωκε τὸ πν(εῦ)μα.

26

✠ Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τῶν ἁγίων μαρτύρων καὶ αὐταδέλφων· Μηνοδώρας· Νυμφοδώρας· καὶ Μητροδώρας·

Ἡ μάρτυς Μηνοδώρα· μετὰ Νυμφοδώρας καὶ Μητροδώρας τῶν ἀδελφῶν αὐτῆς· ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ. ἐκ τῆς χώρας Βιθυνίας· κατοικοῦσαι ἐν τοῖς Πυθίοις, ἔνθα τὰ θερμὰ ἐξέρχονται ὕδατα· τὸν Χριστὸν δὲ ἀγαπῶσαι καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ τοὺς Ἕλληνας διδάσκουσαι. ἐκρατήθησαν παρὰ τοῦ τῆς χώρας ἄρχοντος· καὶ ἐρωτηθεῖσαι, ὡμολόγησαν τὸν Χριστόν· διὰ τοῦτο τύπτεται πρῶτον ἡ πρεσβυτέρα ἀδελφὴ Μηνοδώρα. καὶ ῥάβδοις συντρίβεται τὰ σκέλη αὐτῆς· καὶ οὕτω προσευχομένη ἐτελειώθη· προσέταξε δὲ ὁ ἄρχων τεθῆναι τὸ λείψανον αὐτῆς ἔμπροσθεν τῶν ἄλλων ἀδελφῶν. πρὸς τὸ ἐκφοβῆσαι· καὶ εἶπε πρὸς αὐτάς· θύσατε τοῖς θεοῖς. ἵνα μὴ τὰ ὅμοια τῇ ἀδελφῇ ὑμῶν πάθητε· ὡς δὲ οὐκ ἐπείσθησαν. ἐκέλευσε τοῖς δημίοις καὶ αὐτὰς φονεῦσαι· καὶ ἐλθόντες μανιωδῶς οἱ δήμιοι μοχλοῖς σιδηροῖς. συνέτριψαν πάντα τὰ μέλη αὐτῶν· καὶ οὕτω τελειωθεῖσαι ἐτάφησαν πλησίον τῶν θερμῶν ὑδάτων, ἰάσεις ἐπιτελοῦσαι·

τὸν ὑμνηζ

10 Sep: Menodora Nymfodora Metrodora sororum martyrium

✠ μηνὶ τῷ αὐτῷ ια´. ἄθλησις τῶν ἁγίων μαρτύρων
Διοδώρου καὶ Διδύμου:·

Διόδωρος καὶ Δίδυμος οἱ τοῦ Χ(ριστο)ῦ μάρτυρες· ὑπῆρχον μὲν
ἐκ τῆς πόλεως Λαοδικείας τῆς Συρίας· χριστιανοὶ δὲ
ὄντες· ἐδίδασκον πάντας ἐπὶ τῷ ὀνόματι κ(υρίο)υ τοῦ θ(εο)ῦ ἡ-
μῶν· τοῦ ποιήσαντος τὸν οὐ(ρα)νὸν καὶ τὴν γῆν καὶ πάντα
τὰ ἐν αὐτοῖς· καὶ πολλοὺς τῶν ἀπίστων πρὸς τὸν Χ(ριστὸ)ν ἐπι-
στρέφοντες ἐβάπτιζον· διαβληθέντες δὲ παρά τινων
δυσσεβῶν ἑλλήνων· τῷ τῆς Λαοδικείας ἄρχοντι, παρε-
στήσαν τῷ κριτηρίῳ αὐτοῦ· καὶ ἐρωτηθέντες· καὶ ἑαυ-
τοὺς χριστιανοὺς ὁμολογήσαντες· ἰσχυρῶς ἐτύφθησαν·
ἐπὶ πολὺ δὲ τιμωρηθέντες· καὶ τὸν Χ(ριστὸ)ν μὴ ἀρνησάμενοι·
ἀλλὰ μᾶλλον τὴν τῶν εἰδώλων πλάνην ἀνδρείως ἐλέγ-
ξαντες· καὶ τὸν ἄρχοντα ὡς παράνομον καὶ κακῶς πράτ-
τοντα ὀνειδίσαντες· καὶ εἰς τὸ πρόσωπον αὐτοῦ ἐμ-
πτύσαντες· ὡς τὸν ἀληθινὸν θ(εὸ)ν καταλιπόντα· καὶ τοῖς
λαοῖν εἰδώλοις προσκείμενον. εὐχαριστοῦντες· καὶ τῷ
Χ(ριστ)ῷ προσευχόμενοι. ἐν αὐταῖς ταῖς μάστιξιν ἀπέθανον:-

Sep: 11 Diodori et Didymi martyrum

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰας τῆς ἐν Περσίδι μαρτυρησάσης

29

✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

Ἡ ὁσία Θεοδώρα ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος· ὡ-
ραία τὴν ὄψιν· καὶ πλουσίων γονέων θυγάτηρ· ἔχουσα ἄν-
δρα εὐγενῆ καὶ φοβούμενον τὸν Θεόν· ἀνὴρ δέ τις πλούσιος
ὑπὸ τοῦ διαβόλου κινηθεὶς, ἐπεθύμησεν αὐτῆς· καὶ χρη-
σάμενος γυναικί τινι τῶν πρὸς ταῦτα ἐπιτηδείων, ἐ-
πλήρωσε τὴν ἁμαρτίαν αὐτοῦ· μετὰ δὲ τὴν ἁμαρτίαν
μεταμεληθεῖσα ἡ Θεοδώρα· καὶ μὴ φέρουσα τὸ ὄνειδος·
ἐξεδύσατο τὴν στολὴν αὐτῆς· καὶ ἐνεδύσατο ἱμάτια ἀνδρῷα
πενιχρά· καὶ ἀπῆλθεν εἰς ἀνδρεῖον μοναστήριον. μετονο-
μάσασα ἑαυτὴν Θεόδωρον· ὁ δὲ ἀνὴρ αὐτῆς δι' αὐτὴν, ἦν
θρηνῶν καὶ κοπτόμενος· τοσούτους δὲ πειρασμοὺς ὑπέστη
παρὰ τῶν δαιμόνων καὶ τοιούτους ἀγῶνας ἐπεδείξατο, ὡς
μὴ μόνον τοῦ ἁμαρτήματος λυτρωθῆναι· ἀλλὰ καὶ θαυ-
μάτων ἀξιωθῆναι πολλῶν· νομίζοντες δὲ οἱ μοναχοὶ
ὅτι ἀνήρ ἐστιν· ἐσπούδασε γὰρ λαθεῖν· μετὰ τελευτὴν ἀπονίπτον-
τες, εὗρον αὐτὴν κατὰ φύσιν γυναῖκα. καὶ ἐδόξασαν τὸν Θεόν.

Μηνὶ τῷ αὐτῷ ιβ΄. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Αὐτονόμου:·

Αὐτόνομος ὁ ἱερομάρτυς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Διοκλη-
τιανοῦ· ἐπίσκοπος γενόμενος Ἰταλίας· διὰ δὲ τὸν κατὰ
τῶν χριστιανῶν διωγμὸν· καταλιπὼν τὴν Ἰταλίαν. καὶ
ἐλθὼν εἰς Βιθυνίαν· καὶ ὑποδεχθεὶς παρὰ Κορνηλίου τι-
νὸς χριστιανοῦ· κτίσας δὲ ναὸν ἐπὶ τῷ ὀνόματι τοῦ ἀρχι-
στρατήγου Μιχαήλ· καὶ χειροτονήσας ἐν αὐτῷ ἐπίσκοπον
τὸν Κορνήλιον. ἀπῆλθεν εἰς Κλαυδιούπολιν· διδάσκων
καὶ ἐκεῖ τὸν λόγον τοῦ θεοῦ· ὑποστρέψας δὲ καὶ τὸν Κορνήλιον
ἐπισκεψάμενος· καὶ λειτουργῶν ἐν τῷ ναῷ τοῦ ἀρχιστρα-
τήγου Μιχαήλ. εἰς Σωρίαν ἐκίνησε τοὺς Ἕλληνας· καὶ μὴ
φέροντας ἐπεὶ τὸν μὲν Χριστὸν προσκυνούμενον ὑπ' αὐ-
τοῦ, τὰ δὲ εἴδωλα καταφρονούμενα· καὶ ἐπιτηρήσαντες
τὸν καιρὸν ὅτε ἐλειτούργει. ὥσπερ ἐπήδησαν εἰς τὴν
ἐκκλησίαν· καὶ τοὺς περὶ αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων
κατασφάξαντες· ἐν αὐτῷ τῷ θυσιαστηρίῳ τὸν ἅγιον ὁμοίως
καὶ ἀπανθρώπως ἐφόνευσαν· καὶ παρέδωκε τῷ κυρίῳ τὸ πνεῦμα αὐτοῦ:·

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κουρνούτου.

Κουρνοῦτος ὁ ἱερομάρτυς· ἦν μὲν ἐκ τῆς πόλεως Ἰκονίου·
πρεσβύτερος ἐμαυλῶς καὶ φοβούμενος τὸν θεόν· διωγμοῦ δὲ
γενομένου κατὰ τῶν χριστιανῶν. ἀπεστάλη ἄρχων τοῦ Ἰκο-
νίου ὠμὸς καὶ ἀπάνθρωπος. εἰς τὸ ἀναιρῆσαι τοὺς ἐκεῖ
χριστιανούς· καὶ πάντων φυγόντων διὰ τὸν φόβον· ὁ Κουρνοῦ-
τος μόνος καταμαθηθεὶς ὑπεδείχθη τῷ ἄρχοντι· καὶ ἐρω-
τηθεὶς ὑπ' αὐτοῦ. θαρσαλέως τὸν Χριστὸν ὡμολόγησε· καὶ ἑαυ-
τὸν χριστιανὸν τέλειον ἀνεκήρυξεν· ἐλέγξας καὶ τῶν εἰδώ-
λων τὴν ματαιότητα. καὶ τὸν ἄρχοντα μυκτηρίσας· διὰ τοῦ-
το ἐκρατήθη καὶ δεθεὶς τοὺς πόδας σχοινίοις λεπτοῖς. σύ-
ρεται κατὰ τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως Ἰκονίου.
Ἕως τὸ αἷμα αὐτοῦ ἐρρύη ὡς ποταμὸν ἐπὶ τὴν γῆν· καὶ
τεθεὶς ὥσει μὲν ἱερός· ἐν χάριτι τοῦ θεοῦ προσευχόμενος· καὶ
οὕτω τιμωρηθεὶς ἐπὶ πολύ· καὶ μὴ χελ τῆς ἐσχάτης ἀπηνο-
κῶς τὸν Χριστὸν ἐπικαλούμενος. προστάζει τοῦ ἄρχοντος ἀποτ-
μηθεὶς τὴν κεφαλὴν παραθέμενος τὴν ψυχὴν τῷ θεῷ.

✝ τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Ἀλεξανδρείᾳ·:·

Τοῦτον τὸν μέγαν μάρτυρα Θεόδωρον, χριστιανὸν ὄντα εὐλαβῆ καὶ ἐνάρετον· παρρησίᾳ κηρύττοντα τὸν Χ(ριστό)ν καὶ Θ(εὸ)ν ὁμολογοῦντα τοῦ παντὸς καὶ δημιουργόν, ὁ τῶν Ἀλεξανδρέων δῆμος τῶν εἰδωλολατρούντων συναχθέντες ἐκράτησαν αὐτὸν καὶ ἐτιμωρήσαντο ἰσχυρῶς· καὶ πλέξαντες στέφανον ἀκάνθινον περιέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ μετεωρίσαντες αὐτὸν καὶ εἰς τὴν πόλιν δημοσίᾳ περιῆγον, χλευάζοντες αὐτὸν καὶ γελῶντες. μετὰ τοῦτο ἔρριψαν ἐν τῇ θαλάσσῃ· αὔρας δὲ γαλήνης τοῦτον ἐπὶ τῆς ξηρᾶς σωθέντος διεσώσατο· καὶ πάλιν κρατηθείς, δεδεμένος παρεδόθη τῷ ἄρχοντι· καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χ(ριστὸ)ν καὶ μὴ πεισθείς, αὖθις ἐβασανίσθη· καὶ δοξάζων τὸν Θ(εὸ)ν καὶ εὐχαριστῶν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι ἐν αὐταῖς ταῖς βασάνοις, κατεδικάσθη παρὰ τοῦ ἄρχοντος ἀποκεφαλισθῆναι· καὶ ἀποσπάσαντες αὐτὸν οἱ στρατιῶται εἰς τὸν τόπον τῶν καταδίκων ἀπεκεφάλισαν· καὶ οὕτως τελειωθεὶς παρέδωκε τὸ πνεῦμα·:·

Μηνὶ τῷ αὐτῷ ιγ΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Μακροβίου, Γορδιανοῦ, καὶ τῆς συνοδίας αὐτῶν.

Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Λικινίου· ὁ μὲν Μακρόβιος ἀπὸ Καππαδοκίας· ὁ δὲ Γορδιανὸς ἀπὸ Παφλαγονίας· νέοι δὲ ὄντες τὴν ἡλικίαν καὶ ἀνδρεῖοι καὶ σώφρονες· ἦσαν τεταγμένοι δουλεύειν εἰς τὴν τοῦ βασιλέως τράπεζαν· καὶ ἀγαπώμενοι παρ' αὐτοῦ διὰ τὴν ἀρετὴν καὶ τὸ τοῦ προσώπου κάλλος· ἀλλὰ διαγνωσθέντες εἶναι χριστιανοί· καὶ ποτὲ μὲν διὰ παρακλήσεως· ποτὲ δὲ διὰ ἀπειλῆς ἀναγκαζόμενοι τὸν Χριστὸν ἀρνήσασθαι· καὶ μὴ πεισθέντες, ἐξωρίσθησαν εἰς τὴν χώραν Σκυθίας· καὶ φθάσαντες ἐκεῖ, εὗρον τοὺς ἁγίους Ζωτικόν, Λουκιανὸν καὶ Ἡλεῖ, ἀγωνιζομένους ἄθλους τοὺς διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν. Καὶ μετὰ πολλὰς βασάνους, ὁ μὲν Ζωτικὸς καὶ ὁ Λουκιανὸς ξίφει ἐτελειώθησαν· αὐτοὶ δὲ μετὰ τοῦ Ἡλεῖ, τῇ φυλακῇ παρεπέμφθησαν· καὶ ὁ μὲν ἀπεκεφαλίσθη· Μακρόβιος δὲ καὶ Γορδιανὸς πυρὶ ἐτελειώθησαν· ὁ δὲ Οὐαλεριανὸς ἐπὶ [illegible] κρημνῶν [illegible].

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Ἀγκύρᾳ τῆς Γαλατίας

Ἐπὶ τῆς βασιλείας Λικιννίου, ἦν διωγμὸς μέγας κατὰ τῶν χριστιανῶν· ἐν δὲ Ἀγκύρᾳ τῆς Γαλατίας ἦν πρεσβύτερος εὐλαβής, ὀνόματι Ἰουλιανός. Διὰ δὲ τὸν διωγμὸν ἔφυγε καὶ ἀπῆλθεν εἰς ὄρος δασύ· καὶ κατέλαβεν ἐκεῖ σπήλαιον, μετὰ καὶ ἄλλων τεσσαράκοντα καὶ δύο ἁγίων. Ὄντος δὲ πλησίον τοῦ ὄρους εἰδωλείου τῆς θεᾶς τῶν Ἑλλήνων τῆς λεγομένης Ἑκάτης· καὶ τοῦ τῆς Ἀγκύρας ἄρχοντος ἀπελθόντος ἐκεῖ θῦσαι αὐτῇ, ἀνηρεύνων τοὺς ἁγίους κρυπτομένους· ἐξήρχοντο δὲ καθ' ἡμέραν εἰς ξύλα οἱ ἅγιοι καὶ ἐλάμβανον ὕδωρ ἐκ τῆς πλησίον πηγῆς, καὶ ἐβοτίζοντο τοῖς λοιποῖς. Ἔλαχε δὲ καὶ τῷ ἁγίῳ Ἰουλιανῷ γεμίσαι ὕδωρ· καὶ ἰδόντες αὐτὸν τινὲς τῶν Ἑλλήνων, ἐκράτησαν καὶ δήσαντες ἀπήγαγον τῷ ἄρχοντι· καὶ ἐρωτηθεὶς καὶ περὶ τῶν λοιπῶν, καὶ μὴ φανερώσας αὐτούς, ἀλλὰ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσας, περιτίθεται ἐπὶ τὴν κεφαλὴν κασσίδα πεπυρακτωμένην· ἔπειτα ἐξ ἑτέρων τιμωρηθεὶς ἰσχυρῶς, ἀπεκεφαλίσθη.

Μηνὶ τῷ αὐτῷ ιδ΄. ἡ ἀνάμνησις τῆς ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος ἐν χριστιανοῖς βασιλεύς. ἔχων ποτὲ πόλεμον ὥς μέν τινές φασιν, ἐν τῇ ῥώμῃ κατὰ μαξεντίου· πρὸ τοῦ κρατῆσαι τῆς βασιλείας· ὡς δ' ἕτεροι. εἰς τὸν δούναβιν ποταμὸν κατὰ σκυθῶν· ἐπεὶ φοβεῖτο τοὺς πολεμίους πολλοὺς ὄντας. ἐλυπεῖτο καὶ διηπορεῖτο· ἀλλ' ἐν τῇ νυκτὶ ὁρᾷ τὸν τίμιον σταυρὸν ἐν τῷ οὐρανῷ· καὶ γραφὴν δι' ἀστέρων δηλοῦσαν. κωνσταντῖνε ἐν τούτῳ νίκα· ποιήσας οὖν ὅμοιον σταυρόν. ἐνίκησε τοὺς ἐχθρούς· καὶ βαπτισθεὶς σὺν τῇ μητρὶ ἑλένῃ. ἠθέλησεν εὑρεῖν τὸν τίμιον σταυρὸν ἐν ᾧ ἐσταυρώθη ὁ κύριος· καὶ ἀπελθοῦσα ἡ μήτηρ αὐτοῦ εἰς τὰ ἱεροσόλυμα. εὗρεν αὐτόν· φανερωθέντα παρὰ κυριακοῦ ἰουδαίου. τοῦ γεγονότος ὕστερον ἐπισκόπου· ἰδὼν δὲ αὐτὸν πᾶς ὁ λαὸς ἐχάρη· καὶ προσεκύνησεν αὐτὸν ἡ βασίλισσα μετὰ τῆς συγκλήτου καὶ ἠσπάσατο· ζητῶν δὲ καὶ ὁ λαὸς προσκυνῆσαι καὶ μὴ δυνάμενος διὰ τὸν ἄπειρον ὄχλον. ᾐτήσατο κἂν ἰδεῖν αὐτόν· τότε ἀνελθὼν εἰς ὑψηλὸν τόπον ὁ μακάριος ὁ ἐπίσκοπος. ὕψωσεν αὐτόν· ἤρξατο κράζειν ὁ λαὸς κύριε ἐλέησον. κ(αὶ) ἐκ τότε ἐτυπώθη ἡ ὕψωσις.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Πάππα·

Ὁ πολύαθλος μάρτυς τοῦ Χ(ριστο)ῦ Πάππας ἦν ἐπὶ τῆς βασιλεί-
ας Μαξιμιανοῦ ἐκ τῆς χώρας Λυκίας· διδάσκων δὲ τὴν
ὀρθὴν πίστιν καὶ ὁμολογῶν μετὰ παρρησίας τὸν Χ(ριστὸ)ν· καὶ πολ-
λοὺς τῶν Ἑλλήνων πείθων πιστεύειν εἰς αὐτόν, κατε-
μηνύθη τῷ τῆς χώρας ἄρχοντι· καὶ κρατηθεὶς παρ' αὐ-
τοῦ, πρῶτον μὲν ἐτύφθη ἰσχυρῶς· καὶ συνετρίβη πάντα
τὰ ὀστᾶ τοῦ προσώπου· ἔπειτα κρεμασθεὶς ἐξέσθη ἐπὶ
πολύ· καὶ μετὰ ταῦτα ὑπεδέθη ὑποδήματα σιδηρᾶ
ἥλους ἔχοντα μακροὺς καὶ ὀξεῖς· καὶ ἠλαύνετο τυπτόμενος
ἔμπροσθεν ἵππων· ἀπὸ τῆς ἰδίας πόλεως ἕως τῆς
πόλεως Διοκαισαρείας· καὶ ἀπὸ ταύτης ἕως τῆς Σε-
λευκείας· τρέχοντι δὲ αὐτῷ ἀπαντήσασά τις γυνή, ἀ-
πεσπόγγιζεν μετὰ λινοῦ τὰ αἵματα αὐτοῦ, καὶ ἠσπά-
ζετο αὐτὰ κλαίουσα· εἶτα τεθεὶς ὑποκάτω συκῆς ἀ-
γρίας καὶ τυφθεὶς ἰσχυρῶς, παρέδωκε τῷ Κ(υρί)ῳ τὸ πν(εῦμ)α
αὐτοῦ· μετὰ δὲ θάνατον αὐτοῦ, ἐγένετο καρποφόρος ἡ συκῆ:

Μηνὶ τῷ αὐτῷ ιε΄. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρ-
τυρος Νικήτα.

Ὁ ἔνδοξος μάρτυς τοῦ Χριστοῦ Νικήτας, ὑπῆρχε μὲν ἐπὶ τῆς βασι-
λείας Κωνσταντίνου τοῦ μεγάλου· Γότθος τὸ γένος· εὐγε-
νὴς ἐν τοῖς Γότθοις καὶ πλούσιος· ὑπὸ δὲ Θεοφίλου τοῦ
ὁσιωτάτου ἐπισκόπου Γοτθίας, τὴν τῶν χριστιανῶν ἐδι-
δάχθη πίστιν· τῶν δὲ Γότθων εἰς δύο μέρη διαχωρισθέν-
των· καὶ τοῦ μὲν ἑνὸς μέρους ἔχοντος ἄρχοντα· τοῦ
δὲ ἄλλου ἕτερον. προσέφυγε τοῦ ἑνὸς μέρους ὁ ἄρχων
τῷ βασιλεῖ τῶν Ῥωμαίων· ἐκστρατεύσας δὲ ὁ βασιλεὺς
κατὰ τοῦ ἑτέρου ἄρχοντος τῶν Γότθων. ἐνίκησεν αὐτὸν
καὶ ὑποτάσσει τοῖς Γότθοις· καὶ ἀπὸ τότε ἐπληθύνθη
τὸ γένος τῶν χριστιανῶν ἐν αὐτοῖς· πρώτου ὄντος τοῦ
ἁγίου Νικήτα· καὶ διδάσκοντος παρρησίᾳ τὸν λαὸν τὴν
εἰς Χριστὸν πίστιν· μετὰ δὲ τὴν ὑποστροφὴν τοῦ βασιλέως·
μαινόμενοι οἱ ἄπιστοι τῶν Γότθων, ἐκίνησαν διωγμὸν κα-
τὰ τῶν χριστιανῶν· καὶ τοὺς μὲν ἄλλους ἐβασάνισαν διαφό-
ρως· τὸν δὲ ἅγιον Νικήταν πολλὰ τιμωρήσαντες, πυρὶ παρέδωκαν:-

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλοθέου τοῦ θαυματουργοῦ.

Φιλόθεος ὁ θαυματουργὸς ἦν μὲν ἀπὸ τοῦ θέματος Ὀψικίου· κώμης δὲ Χορσινίου πρεσβύτερος· πολλὰ δὲ τὸν Θεὸν ἀπ᾽ αὐτῆς ἡλικίας θεραπεύσας, νηστειῶν, ἀγρυπνιῶν, προσευχόμενος· τὸν πλοῦτον αὐτοῦ σκορπίζων εἰς τοὺς πένητας· ἐν θρήνῳ καὶ κλαυθμῷ τὰς ἡμέρας αὐτοῦ διάγων· διὰ τὸ ἐννοεῖν τὰς ἐκεῖθεν τῶν ἁμαρτανόντων κολάσεις· καὶ τὴν γέενναν τοῦ πυρός· καὶ τὸν ἀκοίμητον σκώληκα· καὶ πολλοὺς ὠφέλει καὶ ἐστήριζεν διὰ τῆς αὐτοῦ διδασκαλίας· καὶ ἀμέμπτως τῷ Θεῷ λειτουργῶν, ἐδέξατο χαρίσματα θαυματουργίας· δαίμονας ἐλαύνειν· ἀσθενοῦντας θεραπεύειν· λεπροὺς καθαρίζειν· ὑετοὺς ἐν ταῖς ἀμβροχίαις κατάγειν· ποιεῖ γὰρ ὁ Κύριος τὸ θέλημα τῶν φοβουμένων αὐτόν. Καὶ τῆς δεήσεως αὐτῶν εἰσακούει· οὕτω δὲ θαυματουργῶν· καὶ τοῖς προσερχομένοις αὐτῷ ἑτοίμως τὰς αἰτήσεις παρέχων· ἐν εἰρήνῃ ἐτελειώθη· καὶ ταφεὶς μένει παράδοξος ἐκ τῶν τιμίων ὠμοπλατῶν αὐτοῦ ἰσόβαθμον ἔλαιον μέχρι τῆς σήμερον.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου, καὶ Ἀσκληπιοδότης.

Οὗτοι ἦσαν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, τοῦ διώκτου τῶν χριστιανῶν· ὑπάρχοντες ἀπὸ Μαρκιανουπόλεως τῆς Θρᾴκης· διδάσκοντες δὲ τὸν λόγον τοῦ Θεοῦ, καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ πορευόμενοι νυκτὸς καὶ ἡμέρας· καὶ πολλοὺς ἀπὸ τῆς τῶν εἰδώλων πλάνης ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μεταγαγόντες, ἐκρατήθησαν παρὰ τοῦ τῆς Θρᾴκης στρατηγοῦ. Καὶ πρῶτον μὲν ἐτύφθησαν ῥάβδοις καὶ ἐξέσθησαν. ἔπειτα ἐκάησαν τὰ ὀστᾶ αὐτῶν· ἔπειτα, κοπέντων χεῖρας, πόδας, ὦτα, ἀπερρίφησαν ἐν τῇ γῇ ὥσπερ νεκροί· καὶ ἀρθέντες ἐπὶ ἁμαξῶν, ἤχθησαν εἰς Ἀδριανούπολιν· καὶ πάλιν κατηγορηθέντες καὶ [illegible] παρὰ τοῦ στρατηγοῦ, κἂν ἅπαξ μόνον θῦσαι τοῖς εἰδώλοις· ὡς δὲ οὐκ ἐπείσθησαν τοῦτο ποιῆσαι, ἀλλὰ μᾶλλον ἐνέπτυσαν τὰ εἴδωλα, κράζοντες ὅτι οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνιά εἰσι· καὶ ἐπικατάρατοι ὑπάρχουσι καὶ αὐτοὶ καὶ οἱ σεβόμενοι αὐτούς· τὰς κεφαλὰς ἀπετμήθησαν. Καὶ σὺν αὐτοῖς ἐτελειώθη ἡ μάρτυς Ἀσκληπιοδότη καὶ [illegible] αὐτῶν [illegible]

✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Μαρτίνου
πάπα Ῥώμης.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Μαρτῖνος, ὑπῆρχε πά-
πας τῆς παλαιᾶς Ῥώμης· ἐπὶ τῆς βασιλείας Κωνσταντί-
νου τοῦ ἐγγόνου Ἡρακλείου· ἐπεὶ δὲ οὗτος ὁ Κωνσταντῖνος
ἦν αἱρετικὸς μονοθελήτης· ὁμοίως καὶ Παῦλος ὁ Κωνσταν-
τινουπόλεως πατριάρχης· μαθὼν περὶ τούτου ὁ πάπας
Μαρτῖνος· ἐδήλωσε διὰ γραμμάτων τῷ βασιλεῖ καὶ τῷ
πατριάρχῃ, ἀρνήσασθαι τὴν τῶν μονοθελητῶν αἵρεσιν·
καὶ μὴ πείσας αὐτούς· συνεκάλεσε τὴν ἐν Ῥώμῃ σύ-
νοδον· καὶ ἀνεθεμάτισε τὴν τοιαύτην αἵρεσιν. καὶ τοὺς
ταύτῃ προσκειμένους· ἐπεὶ δὲ ἐκινήθη παρὰ τοῦ βασιλέως
μαθόντος τοῦτο καὶ δηλώσαντος αὐτῷ ἐλθεῖν εἰς Κων-
σταντινούπολιν· ἐπὶ τῷ ποιῆσαι πᾶν ὅτι κελεύοιτο· τὸ δὲ
ἦν δόλος· ἐλθόντα γὰρ τὸν ἅγιον, ἠτίμωσαν ὅ τε βασιλεὺς
καὶ ὁ πατριάρχης· καὶ δημεύσαντες ἀπέκλεισαν εἰς
σκοτεινὴν φυλακήν· εἶτα ἐξορισθεὶς εἰς Χερσῶνα τὴν
πόλιν· καὶ ἐν αὐτῇ πολλὰ δεινὰ παθών, ἐτελειώθη·

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Πορφυρίου.

Πορφύριος ὁ μάρτυς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου· τέρπων ἐν τῇ τραπέζῃ αὐτοῦ· καὶ ποιῶν ὅσα καὶ οἱ μιμολόγοι· ὅτε δὲ εἶδεν αὐτὸν ἀρνησάμενον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ προσκυνήσαντα τὰ εἴδωλα· θεοὺς ἑαυτοῦ ποιησάμενον αὐτά. ζήλῳ θείῳ κινηθείς· ἤλεγξεν αὐτὸν ἔμπροσθεν πάσης τῆς συγκλήτου· παραβάτην αὐτὸν ἀποκαλῶν καὶ δυσσεβῆ καὶ παράνομον· καὶ ἀχάριστον τῆς εἰς αὐτὸν γενομένης εὐεργεσίας τοῦ θεοῦ καὶ βασιλείας· ὅθεν ὀργισθεὶς ὁ Ἰουλιανός· πρῶτον μὲν ἐκέλευσεν αἰκισθῆναι αὐτὸν ἀνηλεῶς ἐν πολλαῖς καὶ πικραῖς βασάνοις· καὶ τὸ σῶμα αὐτοῦ ὅλον κατεξάνετο ταῖς μάστιξι τυπτόμενον. ὡς δὲ ἐμμένοντα εἶδε τῇ ὁμολογίᾳ· προσέταξε τοῖς δημίοις ἀποκεφαλίσαι αὐτόν· καὶ οὕτω δεξάμενος τὴν ἀπόφασιν. ἀπηνέχθη δέσμιος ἐπὶ τὸν τόπον τῆς σφαγῆς· καὶ ξίφει πληγεὶς ἐτελειώθη· ἀντὶ τοῦ προσκαίρου βασιλέως κτησάμενος τὸν ἀθάνατον· καὶ ἀντὶ τῆς φθαρτῆς τρυφῆς τὴν αἰώνιον ἀπόλαυσιν·

Ἡ μάρτυς Μελιτινὴ ὑπῆρχεν ἀπὸ Μαρκιανουπόλεως τῆς
Θρᾴκης· ἐπὶ Ἀντωνίνου Καίσαρος Ῥωμαίων· τὸν Χριστὸν δὲ
κηρύττουσα, ἐκρατήθη παρὰ Ἀντιόχου τοῦ τῆς αὐτῆς
πόλεως ἄρχοντος· καὶ ὁμολογήσασα ἑαυτὴν Χριστιανήν,
ἐτύφθη σφοδρῶς· εἶτα ἠναγκάσθη εἰσελθεῖν εἰς τὸν ναὸν
τῶν εἰδώλων καὶ θῦσαι· καὶ εἰσελθοῦσα, ηὔξατο πρὸς τὸν
Θεὸν καὶ ἔπεσον τὰ εἴδωλα καὶ συνετρίβησαν· ἐκ τούτου ἐ-
πίστευσαν τῷ Χριστῷ Ἑλλήνων πολλοί· ἅμα καὶ αὐτὴ ἡ τοῦ ἄρ-
χοντος γυνή· καὶ πάλιν τυφθεῖσα, ἐρρίφη εἰς φυλακήν·
καὶ πάλιν τῆς φυλακῆς ἐξελθοῦσα, ἐκρεμάσθη γυμνὴ
καὶ ἐξέσθη τὰς πλευράς· καὶ πάλιν ἀναγκασθεῖσα εἰσελθεῖν
ναὸν εἰδωλικὸν θῦσαι, ηὔξατο καὶ πεσόντα τὰ εἴδωλα
διεσκορπίσθησαν εἰς μικρά· τότε λαβοῦσα τὴν διὰ ξί-
φους ἀπόφασιν, ἀπεκεφαλίσθη· τὸ δὲ λείψανον αὐτῆς
ἐμβαλόμενος ἀνὴρ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν, Ἀκά-
κιος ὀνόματι, ἀπήγαγεν ἐν τῇ νήσῳ τῆς Λήμνου, κατέθετο·

✠ Μηνὶ τῷ αὐτῷ ιζ'. ἄθλησις τῶν ἁγίων τριῶν παρθένων, καὶ ἀδελφῶν Πίστεως· Ἐλπίδος· Ἀγάπης. καὶ τῆς μητρὸς αὐτῶν Σοφίας·

Ἡ μάρτυς τοῦ Χριστοῦ Σοφία· μετὰ τῶν τριῶν αὐτῆς θυγατέρων. ὑπῆρχε μὲν ἀπὸ τῆς χώρας Ἰταλίας· φρονοῦσα δὲ γενομένη χήρα μὲν· παραλαβοῦσα τὰς τρεῖς αὐτῆς θυγατέρας· ἐπὶ τῆς Ἀδριανοῦ βασιλείας· ἀπῆλθεν εἰς Ῥώμην· καὶ ἐναπετέθη μετ' αὐτῶν κρύφα. ὑπὸ τοῦ τῆς Ῥώμης ἐπισκόπου· Καὶ μετὰ τὸ ἀναπαυθῆναι· ἐδίδασκον καὶ ἄλλους τὰ περὶ τοῦ Χριστοῦ· καὶ πολλοὺς ἐπέστρεφον ἐπὶ τὸν Κύριον· διαφημισθεῖσαι δέ· ἐκρατήθησαν παρὰ Ἀδριανοῦ καὶ βιασαμένου ἀπειθήσαν· καὶ πρῶτον μὲν ἡ ἁγία Πίστις· λαβοῦσα καὶ τῶν ὑπαρχουσῶν· κρεμασθεῖσα καὶ ξεσθεῖσα, ἀπεκεφαλίσθη· ἔπειτα ἡ δευτέρα ἀδελφὴ Ἐλπίς· δεθεῖσα καὶ τεμνομένη ῥάβδοις τυφθεῖσα, καὶ αὐτὴ ἀπεκεφαλίσθη· καὶ τρίτον ἡ ἁγία Ἀγάπη ἔνατον χρόνον ἄγουσα· εἰς κάμινον ἐμβληθεῖσα· καὶ ἀβλαβὴς ἐξελθοῦσα, ξίφει κατεκόπη· ἡ δὲ μήτηρ αὐτῶν Σοφία· εὐχαριστοῦσα τῷ Θεῷ ἐπὶ τῷ τέλει αὐτῶν· καὶ ἐπὶ τῷ τάφῳ προσμένουσα καὶ κλαύσασα, ἀπέδωκε τὴν ψυχήν·

✠ τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀγαθοκλίας·

Ἡ μάρτυς Ἀγαθοκλία· ὑπῆρχε μὲν χριστιανή· δούλη δὲ Νικολά-
ου τινὸς καὶ Παυλίνης τῆς γυναικὸς αὐτοῦ· τῶν γ' ἀρμότων
χριστιανῶν· καὶ μετὰ ταῦτα καταλιπόντων τὸν χριστιανι-
σμόν· καὶ τὰ εἴδωλα προσκυνούντων· ἠναγκάζετο οὖν
καὶ ἡ μάρτυς ἀρνήσασθαι τὸν Χν καὶ προσελθεῖν τοῖς εἰ-
δώλοις· καὶ μὴ πειθομένη· ἐτιμωρεῖτο δεινῶς χρόνοις ὀκτώ·
καθ' ἡμέραν διαφόροις ἐξεταζομένη βασάνοις· ποτὲ μὲν
μετὰ λίθων τραχέων τυπτομένη κατὰ τοῦ σφονδύλου καὶ
τοῦ προσώπου· ποτὲ δὲ μετὰ ῥαβδῶν· κατὰ τῆς κεφα-
λῆς καὶ τῶν ὤμων· μὴ πεισθεῖσα δὲ ἀρνήσασθαι τὸν Χν·
μετὰ σφύρης σιδηρᾶς συντρίβεται· καὶ τὴν γλῶτταν ἐκ-
τέμνεται· καὶ ἐν φυλακῇ ἀποκλείεται· παραγγελίας γε-
νομένης· μὴ δοθῆναι αὐτῇ παρά τινος τροφήν· κατ' οἰκο-
νομίαν δὲ Θεοῦ ὄρνις λαβομένη ἀκίδων· φέρουσιν μικρὰ ἀκρό-
δρυα· δι' ὧν ἐτρέφετο αὐτήν· ἔτι ζῶσαν ἐλθοῦσα ἡ κυρία αὐτῆς ἐν
τῇ φυλακῇ μετὰ μοχλοῦ σιδηροῦ πεπυρακτωμένου ἀνεῖλεν αὐτήν·

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Λουκίας τῆς χήρας καὶ Γεμινιανοῦ τοῦ πνευματικοῦ υἱοῦ αὐτῆς:

Ἡ μάρτυς Λουκία· ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐν Ῥώμῃ τῇ πόλει· πλουσία μὲν σφόδρα καὶ περιφανής· χρόνων μὲν δὲ οὖσα ἑβδομήκοντα πέντε· χηρεύσασα ἔτη τριάκοντα ἕξ· ἔχουσα δὲ υἱὸν γνήσιον ὀνόματι Εὐτρόπιον εἰδωλολάτρην. οὐκ ἠδυνήθη πεῖσαι αὐτὸν προσελθεῖν τῷ Χριστῷ· ἀλλὰ μᾶλλον καὶ ἐμηνύθη παρ' αὐτοῦ τῷ Μαξιμιανῷ· καὶ κρατηθεῖσα καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις, ἐνεβλήθη εἰς λέβητα πεπληρωμένον μολύβδου καὶ πίσσης. Κολαζομένη καὶ ἐξελθοῦσα ἀβλαβής· περιήρχετο τὴν πόλιν τυπτομένη· συνήντησε δὲ ὁ ἅγιος Γεμινιανός· καὶ ἠκολούθησεν αὐτῇ· Καὶ μετὰ μικρὸν βαπτισθείς, ἐκλήθη αὐτῆς υἱὸς πνευματικός· καὶ σὺν αὐτῇ ἐλθὼν εἰς πρόσωπον τοῦ βασιλέως, ὡμολόγησε τὸν Χριστὸν καὶ ἐτιμωρήθη· εἶτα ὑπὸ ἀγγέλου ἀπηνέχθησαν εἰς τὸ Ταυρομένιον· καὶ ὁ μὲν Γεμινιανὸς παρὰ τοῦ ἄρχοντος ξίφει ἐτελειώθη· ἡ δὲ Λουκία ἐν εἰρήνῃ ἐκοιμήθη.

✠ μηνὶ τῷ αὐτῷ ιη΄, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος
Συμεὼν ἐπισκόπου Ἱεροσολύμων ⁘ ⁘ ⁘

Συμεὼν ὁ ἱερομάρτυς· ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Τραϊανοῦ·
δεύτερος ἐπίσκοπος Ἱεροσολύμων γενόμενος μετὰ Ἰάκωβον
τὸν ἀδελφὸν τοῦ Κυρίου· ἦν δὲ καὶ ἀδελφὸς αὐτοῦ τε τοῦ Κυρίου καὶ
τοῦ Ἰακώβου· υἱὸς γὰρ ὢν τοῦ Κλωπᾶ· οὗτος γὰρ καὶ Ἰω-
σὴφ ὁ χρηματίσας κατὰ σάρκα πατὴρ τοῦ Κυρίου· μᾶλλον δὲ
ὁμομήτριοι ἀδελφοὶ ἐνομίσθησαν· οὗτος δὲ ὁ Συμεὼν κατη-
γορηθεὶς παρὰ τῶν Ἰουδαίων ὡς κηρύττων τὸν Χριστόν· καὶ κρα-
τηθεὶς ὑπὸ τῶν ἀρχόντων τῶν Ἑλλήνων, ἐτύφθη σφοδρῶς·
καὶ πολλαῖς βασάνοις ὑποβληθεὶς ἀπεκλείσθη εἰς φυλα-
κήν. λιμῷ καὶ κακουχίᾳ δαπανώμενος· εἶτα τῆς φυλα-
κῆς ἐκβληθεὶς καὶ πάλιν μὴ ἀρνήσασθαι τὸν Χριστὸν
καὶ μὴ πεισθεὶς, σταυρῷ προσηλωθεὶς τὸν βίον ἀπέλιπεν·
ὑπάρχων ἐτῶν ἑκατὸν εἴκοσι· καὶ τὸ μὲν ἱερὸν σῶμα αὐτοῦ
παρὰ τῶν συγγενῶν αὐτοῦ παρεδόθη τῇ γῇ· ἡ δὲ μακα-
ρία αὐτοῦ ψυχὴ ἀνελθοῦσα εἰς οὐρανούς, μετὰ τῶν ἀγγέλων εὐ-
φραίνεται ἀγωνίως· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ⁘ +

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Εὐμενίου ἐπισκόπου Γορτύνης τοῦ θαυματουργοῦ.

Εὐμένιος ὁ θαυματουργὸς, ὑπῆρχεν ἀπὸ νέας ἡλικίας χριστιανὸς εὐλαβὴς καὶ τὸν θεὸν φοβούμενος· πλούσιος δὲ ὤν, διεσκόρπισεν πᾶσι τοῖς πτωχοῖς πάντα τὰ ὑπάρχοντα αὐτοῦ· αὐτὸς δὲ νηστεύων καὶ προσευχόμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐπλήρου καὶ τὴν τοῦ μεγάλου ἀποστόλου Παύλου παραίνεσιν· καὶ γὰρ ἔχαιρε μετὰ χαιρόντων· καὶ ἔκλαιε μετὰ κλαιόντων· ἀλλὰ δὲ περιέφερεν ἐν ἑαυτῷ τοῦ προσώπου τὸ δάκρυον· εἶχε δὲ καὶ τοῦτο ἔργον, τὸ μηδένα ποτὲ παραδέξασθαι διαβολὴν κατά τινος ἢ κατακρῖναι ἄλλον· ἀλλ' εἴ ποτε καὶ ἤκουσε κατὰ ἄλλου τι πταῖσμα, ἐνόμιζεν ὅτι αὐτὸς τοῦτο ἐποίησε· διὰ οὖν τὰ τοιαῦτα αὐτοῦ κατορθώματα ἐκλεγεὶς παρὰ τοῦ κλήρου καὶ τοῦ λαοῦ, προεχειρίσθη ἐπίσκοπος Γορτύνης τῆς Κρήτης νήσου· καὶ ζήσας ἐν τῇ ἀρχιερωσύνῃ χρόνους πολλούς· καὶ πολλὴν λαὸν διδάξας τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ θαυμάτων πολλῶν χάριν λαβὼν, ἐκοιμήθη θαυματουργῶν καὶ μετὰ θάνατον ἕως τοῦ νῦν.

✠ τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας μάρτυρος ἀριάδνης·

Ἡ μάρτυς ἀριάδνη. ὑπῆρχεν ἐπὶ ἀδριανοῦ καὶ ἀντωνίνου τῶν βα-
σιλέων· χριστιανὴ μέν· δούλη δὲ πλουσίου τινός· πρωτοῦ τῆς
χώρας φρυγίας· ἐν μιᾷ δὲ τῶν ἡμερῶν· γενεθλίων τελου-
μένων τοῦ υἱοῦ τοῦ κυρίου αὐτῆς· κἀκείνων ἐν τῷ ναῷ τῶν
εἰδώλων ἀπελθεῖν μετ' αὐτῶν καὶ συνεορτάσαι αὐτοῖς· μὴ πει-
σθεῖσα δὲ, ἐτύφθη ἀνηλεῶς καὶ ἐγκλεισθεῖσα φυλακῇ· καὶ ἐ-
λιμοκτονήθη ἰσχυρῶς· εἶτα τῆς φυλακῆς ἐκβληθεῖσα, πα-
ρεδόθη τῷ τῆς χώρας ἄρχοντι· ἐπὶ τῷ τιμωρηθῆναι· καὶ ὑ-
π' ἐκείνου πάλιν ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πει-
σθεῖσα· ἐκρεμάσθη καὶ τὰς πλευρὰς ἐξέσθη· ἀπολυθεῖσα δὲ
τῆς βασάνου· καὶ εὑροῦσα διορίαν· πρὸς τὸ ὄρος ἐξέδραμε φεύ-
γουσα· γνόντες δὲ τοῦτο οἱ στρατιῶται· κατεδίωκον αὐτὴν
μετὰ ξιφῶν· καὶ ἰδοῦσα ὅτι καταφθάζεται, ηὔξατο πρὸς
τὸν θεὸν λυτρωθῆναι ἀπ' αὐτῶν· καὶ σχισθείσης πέτρας πρὸς
νεῦμα θεοῦ, εἰσῆλθεν ἐν αὐτῇ· τῆς πέτρας πάλιν ἀσφαλι-
σθείσης· καὶ κρυβεῖσα ἐν αὐτῇ· καὶ οὕτως ἐν χάριτι θεοῦ ἐτελειώθη·

✝ Μηνὶ τῷ αὐτῷ ιθ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Τροφίμου, Δορυμέδοντος καὶ Σαββατίου.

Οὗτοι οἱ μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Πρόβου· τελουμένου δὲ ἱπποδρομίου εἰς Ἀντιόχειαν τῆς Πισιδίας, ἀπελθόντες εἰς τὸ θέατρον ὁ Τρόφιμος καὶ ὁ Σαββάτιος, καὶ ἰδόντες τοὺς Ἕλληνας θύοντας τοῖς εἰδώλοις, ἐστέναξαν ἐκ ψυχῆς καὶ εἶπον πρὸς τὸν Θεόν· Κύριε, δὸς τοῖς πεπλανημένοις ἀνθρώποις τούτοις καταλιπεῖν τὰ εἴδωλα, καὶ γνωρίζειν σε τὸν μόνον Θεὸν καὶ τὸν μονογενῆ σου Υἱόν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο δὲ εἰπόντες καὶ γνωσθέντες Χριστιανοὶ εἶναι, ἐκρατήθησαν παρὰ τοῦ ἄρχοντος. Καὶ πρῶτον μὲν ὁ Τρόφιμος τυφθεὶς καὶ ξεσθείς, ἐνεβλήθη εἰς φυλακήν. Εἶτα ἤχθη καὶ ὁ Σαββάτιος, καὶ τὸν Χριστὸν ὁμολογήσας, βασανιζόμενος καὶ ξεόμενος παρέδωκε τὸ πνεῦμα. Μετὰ ταῦτα ἐκβληθεὶς τῆς φυλακῆς ὁ Τρόφιμος, καὶ ὑποδεθεὶς ὑποδήματα σιδηρᾶ, ἀπεστάλη τῷ ἄρχοντι τῆς Συνάδων πόλεως· καὶ ὑπ' αὐτοῦ τιμωρηθεὶς ἀπεκλείσθη. Ὁ δὲ Δορυμέδων ἀπελθὼν πρὸς τὸν Τρόφιμον, ἐπειδὴ Χριστιανὸς ἐγνώσθη, ἀπεκεφαλίσθησαν ἀμφότεροι.

Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰαννουαρίου ἐπισκόπου Βενεβένδου καὶ τῆς συνοδίας αὐτοῦ:

Ἰαννουάριος ὁ ἱερομάρτυς μετὰ τῆς συνοδίας αὐτοῦ. ἦν
ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· ἐπίσκοπος τῆς πό-
λεως Βενεβένδου· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐν
δεσμοῖς κατασχεθεὶς ἐν Ποτιόλοις μετὰ Σώσσου· Πρόκλου·
Εὐτυχίου· καὶ Ἀκουτίου. τῶν διακόνων· ὁ δὲ ἄρχων τῆς
χώρας Τιμόθεος· ἐλθὼν εἰς Ποτιόλους· καὶ εὑρὼν τὸν ἅγιον
εἰς τὰ δεσμά. ἐξάρας τῆς φυλακῆς· ἐνέβαλεν εἰς κά-
μινον· καὶ ἐξελθόντα αὐτὸν ἀβλαβῆ ἐκ τῆς καμίνου θε-
ασάμενος. μᾶλλον ἐμάνη· καὶ προσέταξε τοῖς δημίοις.
κόψαι τὰ νεῦρα τῶν ποδῶν αὐτοῦ· ὑπομείνας δὲ καὶ τὴν
τιμωρίαν ταύτην ὁ ἅγιος. πάλιν ἀπεδόθη τῇ φυλακῇ·
ἐλθόντες δὲ εἰς ἐπίσκεψιν αὐτοῦ ἐκ Βενεβένδου δύο κλη-
ρικοὶ Φαῦστος καὶ Δεσίδεριος· ἐκρατήθησαν καὶ αὐτοί· καὶ
συνεδέθησαν τῷ ἐπισκόπῳ καὶ τοῖς διακόνοις ἐν τῇ φυ-
λακῇ· εἶτα ἐκβληθέντες ἐθηριομάχησαν· καὶ μηδὲν ἀ-
δικηθέντες· προστάξει τοῦ ἄρχοντος τὰς κεφαλὰς ἀπετμήθησαν:

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων ρν' μαρτύρων Νείλου, Πηλέως, Ἡλία, καὶ τῆς συνοδίας αὐτῶν.

Τὸν ἀριθμὸν τούτων μαρτύρων οἱ μὲν ἑκατόν· ὑπῆρχον δὲ τῆς
Αἰγύπτου [illegible] ὄντες· καὶ τὸν Χριστὸν παρρησίᾳ κηρύττον-
τες, διὰ τοῦτο κρατηθέντες παρὰ τῶν εἰδωλολατρῶν,
τοὺς δεξιοὺς ἐξωρύχθησαν ὀφθαλμούς· καὶ τῶν ἀριστερῶν
ποδῶν τὰς ἀγκύλας σὺν τοῖς νεύροις ὑπὸ ξίφους διεκόπη-
σαν· καὶ ταῦτα ὑπομείναντες διὰ Χριστὸν καλῶς, ἐτελειώθησαν· οἱ δὲ
πεντήκοντα, ἦσαν ἐκ τῆς Παλαιστίνης· καὶ διὰ τὸν Χριστὸν
τὰ ὅμοια τοῖς ἄλλοις καὶ αὐτοὶ παθόντες παρὰ τοῦ τῆς
χώρας ἄρχοντος, ἀπεκλείσθησαν εἰς φυλακήν· καὶ
κατεδικάσθησαν ἐργάζεσθαι μετὰ τῶν λοιπῶν καταδί-
κων τὴν ἐργασίαν τῶν μετάλλων· ὕστερον δὲ καὶ αὐτοὶ
προσαχθέντες τῷ δουκί· καὶ ποτὲ μὲν παρακλήσεσι, πο-
τὲ δὲ ἀπειλαῖς ἀναγκασθέντες ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦ-
σαι τοῖς εἰδώλοις· καὶ μὴ πεισθέντες, τὴν διὰ τοῦ πυρὸς
ἀπόφασιν ἐδέξαντο· ἀναφθείσης οὖν καμίνου μεγάλης,
χαίροντες καὶ δοξάζοντες τὸν Θεὸν εἰσῆλθον ἐν αὐτῇ, καὶ ἐτελειώθησαν.

Μηνὶ τῷ αὐτῷ κ΄. μνήμη τῆς ὁσιομάρτυρος τοῦ Χ(ριστο)ῦ Ἰωσάννης·:·

Σωσάννα ἡ ὁσιομάρτυς ὑπῆρχε μὲν ἐκ τῆς χώρας Παλαιστί-
νης· θυγάτηρ ἱερέως τῶν Ἑλλήνων, ὀνόματι Ἀρτεμίου· μετὰ δὲ
τελευτὴν τοῦ πατρὸς αὐτῆς καὶ τῆς μητρὸς διδαχθεῖσα τὸν λόγον
τῆς ἀληθείας ὑπὸ Σιλβανοῦ πρεσβυτέρου, ἐβαπτίσθη· καὶ
πάντα τὸν πλοῦτον αὐτῆς διανείμασα τοῖς πτωχοῖς· καὶ κατα-
λιποῦσα τὸν κόσμον, ἀπῆλθεν εἰς μοναστήριον· καὶ γενομέ-
νη μοναχή, περιβαλομένη σχῆμα ἀνδρεῖον· καὶ μετονομασ-
θεῖσα Ἰωάννης, πρὸς τὸ μὴ γνωρίζεσθαι· νομιζομένη δὲ
ἀνήρ, ἐλοιδορήθη παρὰ γυναικός τινος ὡς ὁμιλήσασα αὐτῇ
παρὰ τοῦ διακόνου, ὅτι ὡς ἀνδρὸς οὔσης αὐτὴν διεφθάρατο·
Καὶ ἐλεγχθεῖσα παρὰ παρθένου καὶ εὑρεθεῖσα φύσει γυνή,
ἡ δὲ μετὰ τὴν κατηγορίαν· καὶ ἀπελθοῦσα εἰς Ἐλευθερόπο-
λιν, διὰ τὴν ἀρετὴν αὐτῆς ἐχειροτονήθη ὑπὸ τοῦ ἐπισκό-
που διακόνισσα· καὶ διὰ τὸ κηρύττειν παρρησίᾳ τὸν Χ(ριστό)ν
ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος· καὶ πολλὰ βασανισθεῖ-
σα, καὶ ἐν φυλακῇ ἐμβληθεῖσα, πρὸς Θ(εὸ)ν ἐξεδήμησεν·:·

μηνὶ τῷ αὐτῷ κα΄. μνήμη τῶν ἁγίων πρώην ἡμῶν
Ἰσαακίου καὶ Μελετίου ἐπισκόπων τῆς Κύπρου.

Οἱ ὅσιοι καὶ μακάριοι πατέρες Ἰσαάκιος καὶ Μελέτιος, γεγόνασι μὲν
ἐπίσκοποι τῆς ἐκκλησίας Κύπρου· κατὰ διαφόρους δὲ
καιρούς· ὁ μὲν Ἰσαάκιος πρότερον· ὁ δὲ Μελέτιος ὕστερον· δι-
αλάμψαντες ἀμφότεροι· καὶ τὸν θεῖον φόβον ἐν ἑαυτοῖς ἀεὶ περιφέ-
ροντες· καὶ τὴν ἀρχιερωσύνην καλῶς ἐμπορευόμενοι· ἀμέμ-
πτως τῷ θεῷ λειτουργοῦντες· καὶ τοῖς πτωχοῖς προθύμως
ἐλεημονοῦντες· πάντα τὰ ὑπάρχοντα αὐτοῖς· καὶ κατὰ τὸν
προφήτην ὅλην τὴν ἡμέραν ἐλεοῦντες· καὶ δανείζοντες.
Οὐ μόνον τὸν ἄρτον αὐτῶν· ἀλλὰ καὶ τὸν κατὰ τὴν διδαχὴν
σῖτον λόγον· χηρῶν προϊστάμενοι· ὀρφανοὺς οἰκτείροντες·
ὀλιγοψύχους παραμυθούμενοι· τοῖς πᾶσι τὰ πάντα γινό-
μενοι· ἵνα πάντας κερδάνωσιν· οὕτως δὲ ποιοῦντες, ἠξιώθη-
σαν καὶ θαυμάτων χαρίσματος· καὶ πολλοὺς καὶ διὰ τούτων ἰ-
άσεως ὠφελήσαντες· ἐν μακροτάτῳ γήρᾳ κατὰ διαφό-
ρους ὡς εἴρηται καιρούς· ἐν τῇ αὐτῇ τῇ δι' ἔτους ἡμέρᾳ· πρὸς
τὸν θεὸν ὃν ἐκ νεαροῦ ποθήσαντες θερμῶς ἐξεδήμησαν.

44

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Πέργῃ τῆς Παμφυλίας μαρτυρήσαντος:

Θεόδωρος ὁ μάρτυς ὑπῆρχεν ἐπὶ Ἀντωνίνου καίσαρος Ῥωμαίων· Πέργην [illegible] τυγχάνων τοῦ ἁγίου Θεοδώρου τοῦ [illegible] μαρτυρήσαντος [illegible]. ἐστρατεύθη δὲ καὶ αὐτὸς εἰς τὸ τάγμα τῶν τηρώνων, διὰ τὸ μέγεθος εἶναι καὶ τὴν ἡλικίαν μέγας, καὶ τὸ πρόσωπον εὔμορφος· ἀναγκαζόμενος θῦσαι τοῖς εἰδώλοις, καταφρονήσας τῆς ἐπιγείου στρατείας καὶ τοῦ φθαρτοῦ βασιλέως, καὶ εἰπών· ἐγὼ τῷ ἐπουρανίῳ βασιλεῖ Χριστῷ ἐστρατεύθην ἀφθάρτῳ [illegible]· καὶ τῷ ἐπιγείῳ βασιλεῖ δουλεύειν οὐ θέλω. ἐκρατήθη παρὰ τοῦ ἄρχοντος· καὶ τυφθεὶς ἐνεβλήθη εἰς κάμινον· καὶ ἐξῆλθεν [illegible], μηδὲ τὸ τυχὸν παράπτωμα ἔχων. ἰδόντες δὲ αὐτὸν δύο στρατιῶται Σωκράτης καὶ Διονύσιος μηδὲν λυμανθέντα ἐκ τοῦ πυρός, ἐπίστευσαν τῷ Χριστῷ· καὶ ἀπεκεφαλίσθησαν σὺν τῇ μητρὶ τοῦ ἁγίου καλουμένῃ Φιλίππᾳ, πρὸ ὀλίγου ἐλθούσῃ εἰς ἐπίσκεψιν τοῦ υἱοῦ. αὐτὸς δὲ πολλαῖς [illegible] ὑπομείνας, ἐν σταυρῷ προσηλωθείς, πρὸς οὐρανοὺς ἀνέδραμε χαίρων.

21 ... Teodoro di Perga

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Κοδράτου ἐπισκόπου Μαγνησίας καὶ τῆς συνοδίας αὐτοῦ.

Κοδρᾶτος ὁ θεῖος ἱερομάρτυς καὶ ἀπόστολος τοῦ Χριστοῦ, ὑπῆρχεν ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων, ἐπίσκοπος τῆς πόλεως Μαγνησίας· ἀκούσας δὲ ὅτι Δέκιος διατρίβει ἐν τῇ πόλει Καισαρείας, παραλαβὼν τοὺς ἀπὸ Μαγνησίας εἰς Νικομήδειαν, πρὸς τὸν Δέκιον ἐβιάσατο αὐτοὺς ἐν ταῖς φυλακαῖς ἁγίοις· ἐπισκεπτόμενος δὲ αὐτοὺς καὶ παρακαλῶν προθύμως μαρτυρεῖν ὑπὲρ τοῦ Χριστοῦ, διεγνώσθη παρὰ τοῦ τῆς Νικομηδείας ἀνθυπάτου· καὶ παραστὰς τῷ κριτηρίῳ αὐτοῦ μετὰ τῶν λοιπῶν μαρτύρων, πρῶτος ἤλεγξε τὴν τῶν εἰδώλων πλάνην· καὶ οἱ μὲν ἄλλοι τυφθέντες πάλιν ἀπεκλείσθησαν· αὐτὸς δὲ παρεπέμφθη εἰς Καισάρειαν τῷ Δεκίῳ· καὶ ὑπ' ἐκείνου ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεὶς, διαφόροις βασάνοις ἐξετασθεὶς καὶ ἐκ πασῶν Θεοῦ χάριτι ῥυσθεὶς, ἰαθ[illegible]ρομένεις κάμινον ἐνεβλήθη ἰσχυρῶς ἐκκαυθεῖσαν· ἀλλὰ καὶ ἐκ ταύτης ἀβλαβὴς ἐξελθών, προσταγῇ τοῦ βασιλέως τὴν ἱερὰν αὐτοῦ ἀπετμήθη κεφαλήν· καὶ οὕτως ἐτελειώθη.

47

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Πρίσκου·

Ὁ μάρτυς τοῦ χῦ Πρῖσκος· τὸν θν̄ ἀγαπῶν· καὶ τὸ θεῖον βά-
πτισμα ἐπιποθήσας. κατέλιπε τὴν πατρίδα καὶ ὡς ἀβρα-
άμ. καὶ γέγονε χριστιανός· καὶ διερχόμενος πανταχοῦ.
ἐκήρυττε παρρησίᾳ τὸν χν̄· θαρσοποιῶν μὲν πάντας
τοὺς χριστιανούς· καὶ πρὸς τὸ μαρτύριον παρακαλῶν·
πολλοὺς δὲ καὶ τῶν ἑλλήνων ἀμμουθέων. καὶ πρὸς τὸν χν̄
ἐπιστρέφων καὶ βαπτίζων· οὕτω δὲ ποιῶν, διεβλήθη πα-
ρὰ τῶν εἰδωλολατρῶν. τῷ τῆς χώρας ἄρχοντι· [illegible]
περ αὐτόν· ὅτι ὡς τοῖς μεγάλοις θεοῖς ἐνυβρίζει· καὶ τῶν
βασιλικῶν προσταγμάτων καταφρονεῖ. καὶ πάντας ἀνα-
πείθεσθαι καὶ προσκυνεῖν θν̄ ἐσταυρωμένον· ταῦτα ἀκού-
σας ὁ ἄρχων. ὠργίσθη σφοδρῶς· καὶ μετὰ κραυγῆς ἐπέ-
τρεψε τοῖς στρατιώταις ἀχθῆναι ταχέως ὁ καλὸς ὅσιος Πρῖσκος
καὶ τιμωρεῖσθαι· κρατηθεὶς οὖν. ἐτύφθη σφοδρῶς· καὶ κρε-
μασθεὶς. ἐξέσθη τὰς πλευράς· καὶ μετὰ ξιφῶν κατεκεντήθη·
καὶ τέλος τὴν κεφαλὴν ἀποτμηθεὶς. πρὸς θν̄ ἐξεδήμησεν·

✠ Μηνὶ τῷ αὐτῷ κβ΄. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ ἐπισκόπου Σινώπης ⁘

τοῦ Παντολέοντος.

✠ Ὁ τοῦ Χ(ριστο)ῦ ἱερομάρτυς Φωκᾶς· ἦν ἐπὶ τῆς βασιλείας Τραϊα-
νοῦ γεννηθεὶς καὶ τραφεὶς ἐν Σινώπῃ τῇ πόλει· παιδίον
δὲ ὑπάρχων, ἐδέξατο ἐκ θ(εο)ῦ θαυμάτων χαρίσματα· καὶ γὰρ
δαίμονας ἀπήλαυνε· νοσεροὺς ἰᾶτο· καὶ πλοῖα κινδυνεύ-
οντα διέσωζεν· ἀπελθὼν δὲ ἀπὸ Σινώπης εἰς Ἀμάσειαν τὴν
πόλιν, τὰ ὅμοια διεπράξατο· εἶτα παραγενόμενος εἰς Ἀμισόν·
θαυματουργήσας κἀκεῖ καὶ πολλοὺς στηρίξας εἰς τὴν πί-
στιν τοῦ Χ(ριστο)ῦ· μετὰ ταῦτα ὑποστρέψας εἰς Σινώπην, ἐπίσκοπος
αὐτῆς προχειρίζεται· καὶ διὰ τῶν θαυμάτων πολλοὺς τῶν Ἑλ-
λήνων πρὸς Χ(ριστὸ)ν ἐπιστρέψας ἐβάπτισεν· ἐνταῦθα ἐμυήθη διὰ
περιστερᾶς τὴν μαρτυρίαν αὐτοῦ· εἶδε γὰρ κατ' ὄναρ περι-
στερὰν ἐλθοῦσαν καὶ καθίσασαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ
καὶ ἐπιδοῦσαν αὐτῷ στέφανον καὶ εἰποῦσαν· δέξαι Φωκᾶ τὸ
σύμβολον τοῦ ἀγῶνός σου· καὶ μετὰ μικρὸν ἀποστείλας ὁ βα-
σιλεὺς Τραϊανὸς ἐκράτησεν αὐτόν· καὶ πολλὰ βασανίσας
πρότερον, ὕστερον ἀπεκεφάλισεν· εἶτα τῷ πυρὶ παρέδωκεν ⁘

22 Sep. Phocas epi Sinopis martyr

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἰωνᾶ

Ἰωνᾶς ὁ μέγας καὶ ἔνδοξος προφήτης· ὑπάρχων ἐκ τῆς χώ-
ρας τῶν Ἰουδαίων· καὶ προσταχθεὶς ὑπὸ θεοῦ ἀπελθεῖν εἰς
Νινευὴ τὴν πόλιν καὶ κηρύξαι· ὅτι ἔτι τρεῖς ἡμέραι καὶ Νι-
νευὴ καταστραφήσεται. αὐτὸς γινώσκων ὅτι φιλάνθρωπός ἐστιν
ὁ θεὸς καὶ συγχωρήσει τοῖς Νινευΐταις ἐὰν μετανοήσωσι. παρα-
κούσας τοῦ θεοῦ· καὶ ἐμβὰς εἰς πλοῖον ἐβούλετο φυγεῖν· ἀλ-
λὰ τῷ προστάγματι τοῦ θεοῦ ἀγριωθεῖσα ἡ θάλασσα, ἤθελε
αὐτὸν καταπιεῖν· καὶ βαλόντες κλήρους οἱ ναῦται· καὶ γνόν-
τες ὅτι δι' αὐτὸν κινδυνεύουσι, λαβόντες ἔρριψαν ἐν τῇ θαλάσ-
σῃ· καὶ αὕτη μὲν ἐπαύσατο· αὐτὸν δὲ κατέπιε κῆτος· καὶ
μετὰ τρεῖς ἡμέρας ἐξήμεσεν εἰς τὴν αἰγιαλόν· καὶ τότε
ἀπελθὼν εἰς Νινευὴ ἐποίησε τὸ πρόσταγμα τοῦ θεοῦ· ἔπειτα ὑπο-
στρέψας εἰς τὴν γῆν αὐτοῦ· καὶ παραλαβὼν τὴν ἰδίαν μητέρα,
ἀπῆλθεν εἰς ξένην χώραν· αἰσχύνην γὰρ εἶχε τὸ κατοικῆσαι εἰς τὴν
ἰδίαν γῆν, διὰ τὸ ψευσθῆναι τὴν προφητείαν αὐτοῦ· ὁ γὰρ θεὸς ἠλέησε τοὺς
Νινευΐτας μετανοήσαντας· προφητεύσας δὲ καὶ ἄλλα πολλὰ ἐτελεύτησεν.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἰωνᾶ τοῦ πρ(εσβυτέρου)
Θεοδώρου καὶ Θεοφάνους τῶν ὁμολογητῶν·

Πρεσβύτερος ἦν οὗτος ὁ ὅσιος Ἰωνᾶς ἐν λαύρᾳ καὶ συμβιωτὴς πατὴρ
Θεοδώρου τοῦ μακαριωτάτου ὁμολογητοῦ. καὶ Θεοφάνους
τοῦ ποιητοῦ τῶν κανόνων· Θεοδώρου δὲ ἐκείνου· οὗτινος τὸ
πρόσωπον διὰ μέλανος ἐχάραξε καὶ κατεκέντησε Λέ-
ων ὁ κάκιστος εἰκονομάχος ὤν. διὰ τὸ μὴ πεῖσαι αὐτὸν
ἀρνήσασθαι τὴν προσκύνησιν καὶ τὸν σεβασμὸν τῶν ἁγίων εἰ-
κόνων· τοῦ τε Χ(ριστο)ῦ καὶ τῆς ἀειπαρθένου τεκούσης αὐτὸν Θ(εοτό)κου.
Καὶ τῶν ἁγίων αὐτοῦ πάντων· Καταλιπὼν οὖν τὸν κόσμον
ὁρμηθεὶς ὁ ὅσιος Ἰωνᾶς· καὶ ἀπελθὼν εἰς τὴν τοῦ ἁγίου Σά-
βα λαύραν. γέγονε μοναχός· καὶ τοσαύτην ἄσκησιν ἐπε-
δείξατο· μηδένα προσδεχόμενος· ἀεὶ δακρύων· θρη-
νῶν· ἑαυτὸν ταλανίζων. ὡς ὑπὸ πάντων θαυμάζεσθαι·
Καὶ πολλοὺς σπουδάζειν μιμεῖσθαι τὸν ἐκείνου βίον καὶ
ἐνάρετον μίμησιν αὐτοῦ· ἐδέξατο δὲ καὶ χαρίσματα ἰαμάτων.
δι' ὧν ὠφέλει τοὺς προσερχομένους αὐτῷ· οὕτω δὲ ὁσίως·
Καὶ θαυμαστῶς τοῖς πᾶσι φανεὶς, πρὸς τὸν Θ(εὸ)ν ἐξεδήμησεν·

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ. Η ΣΥΛΛΗΨΙΣ ΤΗΣ ΑΓΙΑΣ ΕΛΙΣΑΒΕΤ· ΟΤΕ ΣΥΝΕΛΑΒΕ ΤΟΝ ΑΓΙΟΝ ΙΩ(ΑΝΝΗΝ) ΤΟΝ ΒΑΠΤΙΣΤΗΝ:

Ζαχαρίας ὁ προφήτης καὶ πατὴρ τοῦ βαπτιστοῦ ἰωάννου. ὑπάρχων ἱερεὺς τοῦ θ(εο)ῦ· καὶ εἰσελθὼν ποτὲ ἐν τῷ ναῷ τοῦ θυμιᾶσαι· καὶ τῶν ἰουδαίων ἑστώτων ἔξω. εἶδε γαβριὴλ τὸν ἄγγελον τοῦ θ(εο)ῦ ἱστάμενον ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. καὶ ἐφοβήθη· καὶ ἰδὼν αὐτὸν ὁ ἄγγελος ὅτι ἐταράχθη. εἶπε πρὸς αὐτόν· μὴ φοβοῦ ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου ἐλισάβετ γεννήσει σοι υἱόν. καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰωάννην· καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις· καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται· ὁ δὲ ζαχαρίας εἰδὼς ὅτι αὐτὸς μὲν ἐστὶ γέρων· ἡ δὲ γυνὴ αὐτοῦ γραῦς. εἶπεν· κ(ύρι)ε πῶς ἔσται μοι τοῦτο· καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ ἄγγελος καὶ εἶπεν· ἐγώ εἰμι γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θ(εο)ῦ· καὶ ἀπεστάλην εὐαγγελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι. ἕως οὗ γεννηθῇ ὁ υἱός σου· καὶ διέμεινε κωφὸς καὶ ἄλαλος. ἕως ἐγεννήθη ὁ ἰω(άννης)·

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰραΐδος.

Ἡ μάρτυς τοῦ Χ(ριστο)ῦ Ἰραῒς· ὑπῆρχε μὲν ἀπὸ τῆς πόλεως ἀλεξαν-
δρείας· παρθένος οὖσα καὶ μονάζουσα· ἐξελθοῦσα δὲ
τοῦ ἀσκητηρίου· πρὸς τὸ κομίσαι ὕδωρ ἐκ τῆς πηγῆς
τῇ ἡγουμένῃ αὐτῆς· εἶδεν μὲν τῷ πλοίῳ διερχόμενον κα-
τὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης τὸν ἄρχοντα τῆς πόλεως ἔχον-
τα μεθ᾽ ἑαυτοῦ πλῆθος χριστιανῶν δεσμίων· πρεσβυτέρων·
διακόνων· ἄλλων γυναικῶν καὶ παρθένων. καὶ δραμοῦσα
εἶπε πρὸς τὰς παρθένους· διατί ἐν δεσμοῖς κατέχεσθε·
ἐκεῖναι δὲ ἀπεκρίθησαν εἶπον· διὰ τὸν Χ(ριστὸ)ν· ὅπως ὑπὲρ αὐτοῦ
μαρτυρήσωμεν καὶ σωθῶμεν· ἀκούσασα δὲ ταῦτα Ἰραΐς·
παρεκάλεσε τοὺς δημίους καὶ συνέδησαν καὶ αὐτὴν μετὰ
τῶν λοιπῶν ἄλλων· καὶ καταλαβόντες οἱ ἄλλοι τὴν ἀντινό-
ου πόλιν· καὶ πολλὰ τιμωρηθέντες ὑπὸ τοῦ ἄρχοντος· ἐ-
κεῖ προσαχθέντες θῦσαι τοῖς εἰδώλοις· ἀλλὰ μέχρι θανάτου
φυλάξαντες τὴν εἰς Χ(ριστὸ)ν πίστιν. ἀπεκεφαλίσθησαν ἅπαν-
τες· πρώτην μὲν Ἰραΐς· ἔπειτα δὲ καὶ τὸ λοιπὸν πλῆθος.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων γυναικῶν Ξανθίππης καὶ Πολυξένης·

Ἡ ἁγία Ξανθίππη, ἦν μὲν ἐπὶ Κλαυδίου Καίσαρος Ῥωμαίων·
γυνὴ τυγχάνουσα Πρόβου, τοῦ τῆς Ἱσπανίας ἄρχοντος·
ἔσχε δὲ ἀδελφὴν παρθένον Πολυξένην ὀνομαζομένην· ἀπελθόν-
τος δὲ τοῦ ἁγίου ἀποστόλου Παύλου εἰς τὴν χώραν Ἱσπανίας·
Καὶ κηρύττοντος τὸν Χριστόν· προσῆλθεν αὐτῷ ἡ Ξανθίππη·
καὶ κατηχηθεῖσα ὑπ' αὐτοῦ τὴν πίστιν· πρῶτον μὲν ἐβα-
πτίσθη αὐτή· ἔπειτα ἔπεισε καὶ τὸν ἄνδρα αὐτῆς Πρόβον
γενέσθαι χριστιανόν· ὁμοίως καὶ ἡ ἀδελφὴ αὐτῆς Πολυξένη
ἐδιδάχθη παρὰ τοῦ αὐτοῦ ἀποστόλου τότε· μετὰ δὲ τὴν ἀ-
ποχώρησιν αὐτοῦ ἀκούσασα [illegible]
λήθειας ἀνδρείαν τὸ μέγα ἀποστόλου [illegible] πειρασμοὺς [illegible]
[illegible] προσώπου· Καὶ μαθοῦσα [illegible]
[illegible] ἐβαπτίσθη· καὶ πάλιν ὑποστρέψασα εἰς τὴν
ἰδίαν χώραν, εὗρε [illegible] ἀδελφὴν Ξανθίππην πάσης
ἀρετῆς διαλάμπουσαν· καὶ μετὰ χαρᾶς ὑποδεξαμένη αὐτήν·
Καὶ ἀμφότεραι πολλοὺς διδάξασαι τὴν τοῦ Χριστοῦ πίστιν, ἐτελειώθησαν·

84

Μηνὶ τῷ αὐτῷ κε'. ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου σεισμοῦ, καὶ τῆς τοῦ παιδὸς ἐν τῷ ἀέρι ἁρπαγῆς·

Ἐπὶ τῆς βασιλείας τοῦ μικροῦ Θεοδοσίου σεισμὸς ἐγένετο, οἷος οὐδέποτε γέγονεν· ἐξῆλθεν οὖν καὶ πᾶς ὁ λαὸς σὺν τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ ἀφέντες τὴν πόλιν· ἐξῆλθον ἐν τῷ κάμπῳ πλησίον τοῦ Ἑβδόμου καὶ ἔμενον ἐκεῖ· διότι καὶ ἀκατάπαυστος ἦν ὁ σεισμός· λιτανευόντων δὲ ἀπὸ τοῦ Ἑβδόμου εἰς τὸν κάμπον πρὸς τὸ τριβουνάλιον· καὶ προστιθεμένου εἰς τὸ ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· τοῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς· ὁ Πέτρος ἦν τῆς τῶν θεοπασχιτῶν αἱρέσεως· ὁ Κναφεὺς ὀνομαζόμενος· ὅτι καὶ ἡ θεότης ἔπαθεν ἐν τῷ σταυρῷ· ἐξαίφνης παιδίον ἐκ μέσου τοῦ πλήθους ἁρπαγὲν εἰς τὸν ἀέρα ἀνεφέρετο· πάντων δὲ μετὰ φόβου κραζόντων τὸ κύριε ἐλέησον, κατεβιβάσθη τὸ παιδίον ὡς ὑπὸ νεφέλης ἡσύχως, καὶ παρεκελεύσατο τοῖς λαοῖς ᾄσαι· καὶ ἔφησεν ὅτι οἱ τῶν ἀγγέλων χοροὶ χωρὶς τῆς προσθήκης τοῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς ψάλλουσι τὸν τρισάγιον ὕμνον· τοῦτο δὲ εἰπόντος τοῦ παιδίου καὶ παραχρῆμα τελευτήσαντος, ἔπαυσαν ὁμοῦ ἡ αἵρεσις καὶ ὁ σεισμός· καὶ ἐθαύμασαν ἅπαντες δοξάζοντες τὸν θεόν·

υ τοῦ μικροῦ

Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος παφνουτίου·

Ἡ τοῦ διωγμοῦ ζάλη ἐπὶ τοῦ βασιλέως διοκλητιανοῦ γενομένη· πολλοὺς
τῶν χριστιανῶν ἀνέδειξε μάρτυρας· οὐ μόνον δὲ ἐκ τῶν λαϊ-
κῶν· ἀλλὰ καὶ ἐκ τῶν μοναχῶν· ὧν εἷς ἦν καὶ ὁ ὅσιος παφνού-
τιος· οὗτος γὰρ ἐξ αἰγύπτου καταγόμενος· καταλιπὼν τὸν
κόσμον· τὸν πλείονα τῆς ζωῆς αὐτοῦ χρόνον διέτριβεν ἐν ἐ-
ρήμοις· διὰ δὲ τὸ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφειν πρὸς
τὸν χριστόν· ἐζητεῖτο φονευθῆναι παρὰ τοῦ ἄρχοντος· καὶ πολλῶν
κρατουμένων δι᾽ αὐτόν· ὑπὸ θείου ἀγγέλου κελευσθείς· ἀπελ-
θὼν παρέστη τῷ ἄρχοντι· καὶ τὸν χριστὸν ὁμολογήσας· δεσμεῖται
σιδήροις· καὶ ἐπὶ ξύλου κρεμασθεὶς ξέεται· ἕως τὰ ἔντε-
ρα αὐτοῦ ἐκπεσεῖν ἐπὶ τὴν γῆν· ἀλλὰ πάλιν γέγονεν ὑγιής·
ὑπ᾽ ἀγγέλου ταῦτα προσαρμόσαντος τῷ σώματι· ἐκ τούτου
πολλοὶ ἐπίστευσαν τῷ χριστῷ· καὶ ἰδὼν ὁ ἄρχων· πέμπει αὐτὸν
σὺν τοῖς πιστεύσασι· πρὸς τὸν βασιλέα διοκλητιανόν·
παρ᾽ ἐκείνου δὲ ἐπὶ φοίνικος σταυρωθεὶς ἐτελειώθη· κατ᾽ αὐτὴν
δὲ τὴν ἡμέραν· ἀπεκεφαλίσθησαν πεντακόσιοι μϛ΄ μάρτυρες·

✠ Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Εὐφροσύνης τῆς μετονομασθείσης Σμαράγδου

Πολλαί εἰσιν αἱ τῆς σοφίας ὁδοί· καὶ γὰρ ἡ ὁσία Εὐφροσύνη θυγάτηρ οὖσα πλουσίου τινός· καὶ πρὸς γάμον μέλλουσα ἐκδοθῆναι· γνοῦσα τοῦτο· καὶ τοῦ Χριστοῦ νύμφη θέλουσα εἶναι· προσέδραμεν ἑνὶ τῶν μεγάλων γερόντων· καὶ παρ' ἐκείνου ἀξιοῦται τοῦ μοναχικοῦ· εἶτα φοβηθεῖσα μὴ γνωρισθῇ ὑπὸ τοῦ πατρὸς αὐτῆς· ἐνδυσαμένη ἀνδρεῖα ἱμάτια· καὶ μετασχηματισθεῖσα εἰς ἄνδρα· καὶ μετονομάσασα ἑαυτὴν Σμάραγδον· ἀπῆλθεν εἰς ἀνδρῷον μοναστήριον· εἰς ὃ καὶ πρότερον κατὰ συνήθειαν ἀπήρχετο ὁ πατὴρ αὐτῆς· καὶ μετὰ τοῦτο πάλιν ἀπερχόμενος καὶ τῷ ἡγουμένῳ διηγούμενος τὴν φυγὴν τῆς θυγατρός· ἐνέτυχε πολλάκις καὶ αὐτῇ παρισταμένῃ τῷ ἡγουμένῳ ἐν σχήματι ἀνδρός· καὶ λυπούμενον μὲν [illegible] διὰ τὴν θυγατέρα αὐτοῦ· ἀλλ' οὐκ ἐγνώρισεν αὐτήν· διανύσασα δὲ ἐν τῷ μοναστηρίῳ ἔτη λη΄ καὶ ἱκανῶς κοπιάσασα ἠσθένησε· καὶ προσκαλεσαμένη τὸν πατέρα αὐτῆς· εἶπεν· ἐγώ εἰμι ἡ θυγάτηρ σου· καὶ μὴ λυποῦ· καὶ τοῦτο εἰποῦσα ἐκοιμήθη·

66

μηνὶ τῷ αὐτῷ κϛ΄· ἡ μετάστασις τοῦ ἁγίου ἰωάννου τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ· +

[Ὁ] μέγας ἀπόστολος καὶ εὐαγγελιστὴς ἰωάννης· μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ τὴν κοίμησιν τῆς θεοτόκου· ἦλθεν εἰς ἔφεσον εὐαγγελιζόμενος τὸν χριστόν· καὶ διαβληθεὶς δομετιανῷ τῷ ῥωμαίων βασιλεῖ· ἐξωρίσθη εἰς πάτμον τὴν νῆσον· ἔνθα καὶ τὸ ἅγιον ἔγραψεν εὐαγγέλιον· μετὰ δὲ τελευτὴν δομετιανοῦ· ἀνακληθεὶς πάλιν· ἦλθεν εἰς ἔφεσον· καὶ μετὰ τὸ πολλοὺς διδάξαι· καὶ διὰ τοῦ ἁγίου βαπτίσματος προσαγαγεῖν τῷ χριστῷ· προέγνω τὴν μετάστασιν αὐτοῦ· καὶ κυριακῆς ἡμέρας ἐλθούσης· διδάξας τοὺς ἀδελφοὺς τὰ μεγαλεῖα τοῦ θεοῦ· καὶ παραγγείλας αὐτοῖς φυλάττειν πάντα τὰ διδαχθέντα ὑπ' αὐτοῦ· προσέταξε τῷ μαθητῇ αὐτοῦ παραλαβεῖν ἄνδρας κατέχοντας τὰ πρὸς ὄρυγμα χρείας· καὶ ἀκολουθεῖν· καὶ ἐλθόντων ἐν τῷ τόπῳ· ἐκέλευσεν ὀρύξαι ὄρυγμα κατὰ σταυροῦ δέ· καὶ προσευξάμενος καὶ εἰπών· εἰρήνη ὑμῖν ἀδελφοί· ἀνεκλίθη ἐν τῷ ὀρύγματι· τότε καλύψαντες αὐτὸν οἱ μαθηταὶ ἀνεχώρησαν· καὶ μετὰ τοῦτο ἐλθόντες ἐζήτουν αὐτόν· οὐχ εὗρον·

Μηνὶ τῷ αὐτῷ κζ΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἐπιχάρεως·

Ἐπίχαρις ἡ τοῦ Χ(ριστο)ῦ μάρτυς ὑπῆρχεν ἐν τῇ Ῥώμῃ ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· ἐκρατήθη δὲ παρὰ Καισαρίου τοῦ ἐπάρχου· καὶ ὁμολογήσασα παρρησίᾳ τὸν Χ(ριστό)ν, κρεμᾶται καὶ ξέεται· καὶ τύπτεται μετὰ σφυρῶν μολυβδίνων ὑπὸ τεσσάρων στρατιωτῶν· οἵτινες ἐκλυομένης αὐτῆς ὑπὸ ἀγγέλων ἀνῃρέθησαν· εἶτα συμβουλεύσας τῷ ἐπάρχῳ ὁ συγκάθεδρος αὐτοῦ, ἀποκεφαλίσαι αὐτήν· λαβούσης δὲ τὴν διὰ ξίφους ἀπόφασιν καὶ προσευχομένης, εὑρέθησαν ὑποκάτω τῶν ποδῶν αὐτῆς πέτραι, ὕδατος ἀναβλύζουσαι πλῆθος· πληρώσασα δὲ τὴν εὐχὴν καὶ κλίνασα τὸν αὐχένα, ἐπλήγη ὑπὸ τοῦ δημίου· καὶ τὸ μὲν πνεῦμα αὐτῆς, ἐν παρετέθη εἰς χεῖρας Θ(εο)ῦ ζῶντος· δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θ(εο)ῦ· τὸ δὲ τίμιον λείψανον αὐτῆς ἐτάφη ἐν τιμῇ παρὰ Φίληκος τινὸς συγκλητικοῦ εὐλαβοῦς χριστιανοῦ· νῦν ἰάματα πᾶσι τοῖς πιστῶς προσερχομένοις αὐτῷ· πᾶσαν νόσον καὶ πᾶσαν συμφορὰν καὶ λύπην, ἑτοίμως ἀποδιώκοντα ἕως τῆς σήμερον·

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλι-
στράτου καὶ τῆς συνοδίας αὐτοῦ, τὸν ἀριθμὸν ρπδ'.

Καλλίστρατος ὁ πολύαθλος μάρτυς ἦν ἐπὶ τῆς βασιλεί-
ας Διοκλητιανοῦ, ἐν τῇ πόλει Ῥώμῃ, ἀνὴρ σοφὸς καὶ τὸν
Χριστὸν σεβόμενος. κρατηθεὶς δὲ παρὰ τοῦ στρατηλάτου, ἐ-
ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθείς, ἐτύφθη
ἰσχυρῶς· καὶ δεθεὶς σχοινίοις, σύρεται ἐπὶ ὀστράκων ὀξέων·
εἶτα ἐμβληθεὶς εἰς σάκκον, ἐρρίφη εἰς τὴν θάλασσαν· καὶ
διαρραγέντος τοῦ σάκκου, ἐξῆλθε τῆς θαλάσσης ἀβλαβής.
Καὶ ἰδόντες τὸ θαῦμα στρατιῶται τεσσαράκοντα ἐννέα,
ἐπίστευσαν τῷ Χριστῷ· καὶ τυφθέντες παρὰ τοῦ στρατηλάτου,
ἀπεκλείσθησαν ἐν τῇ φυλακῇ μετὰ τοῦ ἁγίου Καλλιστράτου,
ἐρωτῶντες αὐτὸν καὶ διδασκόμενοι παρ' αὐτοῦ, περὶ κρίσε-
ως, περὶ ἀνταποδόσεως, περὶ ἀναστάσεως, καὶ περὶ
ψυχῆς. εἶτα τῆς φυλακῆς ἐκβληθεὶς μετὰ τῶν στρατιωτῶν,
καὶ προσευξάμενος, ἔρριψε τὰ εἴδωλα. καὶ ἰδόντες ἕτε-
ροι στρατιῶται ἑκατὸν τριάκοντα πέντε τὸ γενόμενον, ἐ-
πίστευσαν καὶ αὐτοὶ τῷ Χριστῷ· καὶ οὕτως ἀπεκεφαλίσθησαν ἅπαντες.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ. ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΡΣ ΗΜΩΝ ΧΑΡΙΤΩΝΟΣ ΟΜΟΛΟΓΗΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΚΑΙ ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΕΡΗΜΟΥ:

Χαρίτων ὁ ὅσιος πατὴρ ἡμῶν καὶ ὁμολογητὴς τοῦ Χ(ριστο)ῦ. ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ· ἐκ τῆς πόλεως Ἰκονίου· κρατηθεὶς δὲ παρὰ τοῦ ἄρχοντος· καὶ τὸν Χ(ριστὸ)ν ὁμολογήσας· ἐτύφθη σφοδρῶς· καὶ τεθεὶς ἐπὶ πυρὸς κατεφλέχθη· εἶτα ἐμβληθεὶς φυλακῇ· τοῦ δὲ βασιλέως Αὐρηλιανοῦ τελευτήσαντος· καὶ τοῦ διωγμοῦ παυθέντος· ἀπολυθεὶς ἀπήρχετο πρὸς τὰ Ἱεροσόλυμα· ἐν δὲ τῇ ὁδῷ κρατηθεὶς ὑπὸ λῃστῶν. ἀπήχθη δεδεμένος εἰς τὸ σπήλαιον· κατὰ συγκυρίαν δέ, ὄφις εἰσελθὼν εἰς τὸ οἰνηρὸν ἀγγεῖον τῶν λῃστῶν. ἐκένωσε τὸν ἰόν· καὶ πιόντες οἱ λῃσταὶ τὸν οἶνον. ἀπέθανον· τότε δὴ ἔδωκε τοῖς πτωχοῖς ὁ ὅσιος Χαρίτων τὰ ἐξ ἁρπαγῆς καὶ φόνων συναχθέντα τοῖς λῃσταῖς πράγματα. καὶ ἀπελθὼν μένει εἰς ἕτερον τῆς ἐρήμου σπήλαιον. καὶ κατῴκησεν ἐκεῖ· ἐν ᾧ πολλὰ ἀγωνισάμενος. πλείστων ἠξιώθη θαυμάτων· καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν διδασκαλίαν. πολλοὺς τῷ Θ(ε)ῷ προσαγαγὼν. ἀνεπαύσατο:

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀλφειοῦ, Ἀλεξάνδρου, Μάρκου, καὶ τῆς συνοδίας αὐτῶν.

Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· Μάρκος ὁ μάρτυς, ἦν ποιμαίνων πρόβατα ἐν ὄρει τινὶ πλησίον Ἀντιοχείας τῆς Πισιδίας· τοσοῦτον δὲ ἐκομίσατο εἰς ἀρετήν, ὥστε καὶ τὰ θηρία ὑποτάσσειν· κυνηγοὶ γάρ τινες διώκοντες ἄρκον, εἶδον αὐτὴν προσφυγοῦσαν τῷ ἁγίῳ, καὶ λείχουσαν τοὺς πόδας αὐτοῦ· καὶ κατελθόντες, ἀνήγγειλαν περὶ αὐτοῦ τῷ ἄρχοντι Ἀντιοχείας· ὁ δὲ ἀποστείλας τριάκοντα στρατιώτας, ἐκράτησε τὸν ἅγιον· οἵτινες διδαχθέντες παρ' αὐτοῦ κατὰ τὴν ὁδόν, ἐπίστευσαν τῷ Χριστῷ· καὶ γνοὺς τοῦτο ὁ ἄρχων, προσέταξεν ἀπαχθέντας ἐκεῖ καὶ αὐτοὺς ἀποκεφαλισθῆναι· τὸν δὲ ἅγιον Μάρκον σὺν ἑαυτῷ ἀπάγων ἐν τῇ πόλει, ἐζήτησε χαλκεῖς ποιῆσαι κασσιτήρια· καὶ εὑρεθέντες Ἀλφειὸς, Ἀλέξανδρος, καὶ Ζώσιμος, καὶ παρακληθέντες χαλκεῦσαι, εὗρον τὸν σίδηρον πυρὶ μὴ μαλασσόμενον· καὶ ἐπίστευσαν καὶ αὐτοὶ τῷ Χριστῷ· καὶ ἀπεκεφαλίσθησαν μετὰ τοῦ ἁγίου Μάρκου· ὁμοίως αὐτοῖς Νίκων, Νέων, Ἡλιόδωρος, πιστεύσαντες ἀπεσφάγησαν.

μηνὶ τῷ αὐτῷ κθ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ.

Ὁ ὅσιος πατὴρ ἡμῶν Κυριακὸς ὁ ἀναχωρητής, ὑπῆρχεν ἀ-
πὸ τῆς πόλεως Κορίνθου ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ
μεγάλου· υἱὸς Ἰωάννου πρεσβυτέρου τῆς ἐκκλησίας Κορίν-
θου· τὸν μαθητὴν ἀναγνώστης· ἀλλὰ τὸν Χριστὸν πλέον πάντων
ἀγαπῶν καὶ θέλων σωθῆναι. ἀφῆκε τὸν κόσμον καὶ ἠκολού-
θησεν αὐτῷ· δέκα γὰρ καὶ ὀκτὼ ἐτῶν γενόμενος, ἀπῆλθεν
εἰς τὰ Ἱεροσόλυμα· καὶ ἀσπασάμενος εἰς τοὺς ἁγίους τόπους.
κατήντησεν εἰς τὴν λαύραν τοῦ ἁγίου Εὐθυμίου· καὶ ὑπ' ἐ-
κείνου περιβαλλόμενος τὸ ἱερὸν τῶν μοναχῶν σχῆμα· τοσοῦτον
δὲ γέγονεν ἐγκρατής, ὥστε τοὺς ταῖς ὀρέξεσι φρονοῦντας ἐλέγ-
χειν καὶ πατάσσειν ἐν κόποις· πολλὴν δὲ ἐπιδειξάμενος ἀ-
σκησιν καὶ σκληραγωγίαν· καὶ προορατικοῦ χαρίσματος
ἀξιωθείς· ὡς καὶ τοὺς κρυφίους τῶν ἀνθρώπων λογισμοὺς γινώ-
σκειν· καὶ πράως καὶ ἡμέρως ἀναμιμνήσκειν αὐτοῖς καὶ
τὸ ἴδιον ὀρθῶς ὠφελεῖν. ἐν βαθυτάτῳ γήρᾳ πρὸς κύριον ἐκ-
δημεῖ ... ἑκατὸν ἑπτὰ ... χαίρων καὶ ἀγαλλόμενος.

29 34: Cyriacus Anachoreta

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ΄ ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΑΡΜΕΝΙΑΣ·

ἱερομάρτυς καὶ πολύαθλος Γρηγόριος, ἦν ἐπὶ Χριστιανῶν(?) τῆς βασιλείας Διοκλητιανοῦ· πάρθος τὸ γένος· συγγενὴς τοῦ τῆς Ἀρμενίας βασιλέως. Χελτιανὸς δὲ ὢν· κρατηθεὶς παρὰ Τηριδάτου καὶ αὐτοῦ βασιλέως Ἀρμενίας πολλὰς ὑπέμεινε τιμωρίας. μάλιστα μαθόντος ὅτι υἱὸς εἴη τοῦ τὸν πατέρα αὐτοῦ δολοφονήσαντος· διὰ τοῦτο δεσμήσας αὐτοῦ χεῖρας καὶ πόδας· καὶ εἰς λάκκον βαθὺν ἐνέβαλε· πεπληρωμένον θηρίων καὶ ἑρπετῶν· ἐν ᾧ διετέλεσεν ἔτη δεκαπέντε· τρεφόμενος κρυφᾶ παρὰ χήρας τινὸς Χελτιανῆς· Κατ' οἰκονομίαν δὲ Θεοῦ· τοῦ Τηριδάτου παραφρονήσαντος· καὶ τὰς σάρκας αὐτοῦ κατατρώγοντος· καὶ μετὰ τῶν χοίρων ἐν τοῖς ὄρεσι βοσκομένου. ἡ δὲ μονόπασιαν(?) καὶ ἀδελφὴ αὐτοῦ μηνύουσα αὐτῷ ὅτι ἂν μὴ ἐξέλθοι Γρηγόριος τοῦ λάκκου. Τηριδάτης οὐχ ὑγιαίνει· ἐξελθὼν οὖν· ἰάσατο τὸν Τηριδάτην καὶ πάντας τοὺς ὑπ' αὐτόν· καὶ γενόμενος ἐπίσκοπος· καὶ πολλὰς ἐκκλησίας συστησάμενος ἐπὶ τῷ ὀνόματι Χριστοῦ καὶ τῶν ἁγίων· ἐτελειώθη·

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ῥιψιμίας, Γαϊανῆς, καὶ τῆς συνοδίας αὐτῶν.

Ἡ μάρτυς Ῥιψιμία σὺν τῇ Γαϊανῇ ὑπῆρχον παρθένοι καὶ μο-
νάζουσαι ἐν τῇ χώρᾳ Ἀρμενίας. καὶ ἡ μὲν Γαϊανὴ ἦν
γραῖα· ἡ δὲ Ῥιψιμία νέα, εὐγενὴς καὶ εὔμορφος. μαθὼν δὲ
περὶ τοῦ κάλλους αὐτῆς ὁ Τηριδάτης, ἐγένετο ἐν ἐπιθυμίᾳ
αὐτῆς. καὶ ἀποστείλας καὶ κρατήσας αὐτήν, ἐβιάζετο πρὸς
ἀθέμιτον μῖξιν. μὴ ὑβριζομένης δὲ αὐτῆς τῇ τοῦ Χριστοῦ δυ-
νάμει, λυσσηθεὶς ἔκειτο ὡσεὶ νεκρός. ἐκφυγοῦσαν δὲ τὴν
ἁγίαν ἐπιδιώξαντες οἱ στρατιῶται καὶ φθάσαντες, ἠνάγκα-
σαν ἀρνήσασθαι τὸν Χριστόν. καὶ μὴ πεισθείσης, διέρρηξαν αὐτῆς
τὰ ἱμάτια· καὶ τὰς χεῖρας ὀπίσω δήσαντες, τὴν γλῶσσαν
ἀπέτεμον· καὶ τοὺς ὀφθαλμοὺς ἐξώρυξαν· καὶ τὸ σῶμα αὐ-
τῆς ζώσης ἔτι ἐν μέσῳ κατὰ μικρὸν τοῖς ξίφεσι κοπτομέ-
νη, παρέδωκε τὴν ψυχήν. καὶ σὺν αὐτῇ ἀπέθανον ἄνδρες
χριστιανοὶ ἑβδομήκοντα, καὶ γυναῖκες τριάκοντα δύο. ἡ
δὲ ἁγία Γαϊανὴ τὸ δέρμα τοῦ σώματος ὅλου ἐκδαρεῖσα, καὶ
λίθοις τοὺς ὀδόντας συντριβεῖσα, οὕτως ἀπετμήθη τὴν κεφαλήν.

Μηνὶ Ὀκτωβρίῳ α΄. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Ἀνανίου ἐπισκόπου Δαμασκοῦ.

Ἀνανίας ὁ τοῦ Χ(ριστο)ῦ μάρτυς καὶ ἀπόστολος, ὑπῆρχε μὲν μαθητὴς
τῶν μεγάλων ἀποστόλων Πέτρου καὶ Ἀνδρέου· χειροτονηθεὶς δὲ
παρ' αὐτῶν ἐπίσκοπος τῆς πόλεως Δαμασκοῦ· διατρί-
βων δὲ ἐν τῇ αὐτῇ πόλει· καὶ μαθὼν ὅτι Παῦλος ὁ τότε διώ-
κτης τῆς ἐκκλησίας τοῦ Χ(ριστο)ῦ· κατέρχεται ἀπὸ Ἱεροσολύμων
πρὸς τὸ κρατῆσαι αὐτόν. ἐβουλήθη φυγεῖν· ἀλλ' ὁ κ(ύριο)ς ἐμφανι-
σθεὶς αὐτῷ, προσέταξε μὴ φυγεῖν· ἀλλὰ περιμεῖναι καὶ ἀνα-
πεῖσαι αὐτὸν ὅπως ἀναβλέψῃ· ἐτυφλώθη γὰρ κατὰ τὴν ὁδὸν
φωτὸς ἐπιλάμψαντος αὐτῷ· καὶ φωνῆς ἐξελθούσης ἐκ τοῦ
φωτὸς καὶ εἰπούσης· Σαοὺλ τί με διώκεις· ἐγώ εἰμι Ἰ(ησοῦ)ς ὁ Χ(ριστό)ς·
ἀλλ' ἀπελθὼν πρὸς Ἀνανίαν, κατηχηθήσῃ καὶ ἀναβλέψεις·
ποιήσας οὖν τὸ πρόσταγμα τοῦ κ(υρίο)υ ὁ Ἀνανίας, εὑρών τε τὸν
Σαῦλον· μετονομάσας αὐτὸν Παῦλον· κρατηθεὶς παρὰ
τῶν εἰδωλολατρῶν· προσήχθη Λουκιανῷ τῷ ἄρχοντι· καὶ
τυφθεὶς καὶ πάσας τὰς πλευρὰς ξεσθείς· τέλος ἐκβληθεὶς τῆς πόλεως,
λιθοβοληθεὶς ἐτελειώθη. ἐτάφη δὲ ἐν αὐτῇ τῇ πόλει Δαμασκῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ὁσιομάρτυρος Μιχαὴλ καὶ τῶν σὺν αὐτῷ λϛ μοναχῶν.

Ὁ ἅγιος Μιχαὴλ μετὰ τῶν σὺν αὐτῷ τριάκοντα ἓξ μοναχῶν, ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης· ἡσύχαζε δὲ ἐν μοναστηρίῳ πλησίον ὄντι Σεβαστουπόλεως. ἐκστρατεύσας δὲ Ἀλὴμ ὁ ἀμηρᾶς τῶν Σαρακηνῶν κατὰ τῆς χώρας ἐκείνης, ἐκράτησε τοὺς ἁγίους· καὶ ἠνάγκαζεν ἀρνήσασθαι τὸν Χριστὸν καὶ μαγαρίσαι· οἱ δὲ ὅσιοι πατέρες οὐκ ἐπείσθησαν· ἀλλ᾽ ἀντέστησαν αὐτῷ· ἐμπτύσαντες καὶ εἰπόντες. οὐ φοβούμεθα τὰς βασάνους· οὐδὲ τὸ θέλημα ὑμῶν ποιοῦμεν. ὑπαρχόντων ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ· ἀλλὰ καταπατοῦμεν τὴν ὑμῶν ἀθεότητα. κρατούμενοι τῇ δυνάμει τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ταῦτα εἰπόντων αὐτῶν Μιχαὴλ ὁ ὁσιώτατος ἡγούμενος, παρεκάλεσε πολλὰ τοῖς μοναχοῖς τοῦ μὴ ἀρνήσασθαι τὸν Χριστόν· καὶ οὕτως πάντες προθυμηθέντες καὶ στηριχθέντες τῇ διδασκαλίᾳ αὐτοῦ. κλίναντες προθύμως τοὺς τραχήλους, ἀπεκεφαλίσθησαν· καὶ ἔσχατος πάντων ὁ πανόσιος Μιχαὴλ ξίφει πληγεὶς ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ῥωμανοῦ τοῦ ποιητοῦ τῶν κοντακίων :·

Ὁ ὅσιος Ῥωμανὸς ὑπῆρχε μὲν ἀπὸ Συρίας, διάκονος τυγχάνων τῆς ἐν Βηρυτῷ ἁγίας ἐκκλησίας. καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν ἐπὶ τῶν χρόνων Ἀναστασίου τοῦ βασιλέως, ἀπελθὼν καὶ κατέμενεν ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου εἰς τὰ Κύρου· ὅπου καὶ τὸ χάρισμα τῶν κοντακίων ἐδέξατο. ἐν ᾧ λαμβάνων γὰρ διάφορον καὶ διανυκτερεύων καὶ λιτανεύων ἐν τῇ παννυχίδι τῶν Βλαχερνῶν, ὑπέστρεφε πάλιν εἰς τὰ Κύρου· ἐν μιᾷ δὲ τῶν νυκτῶν κοιμωμένου αὐτοῦ, ἐφάνη κατ' ὄναρ αὐτῷ ἡ ὑπεραγία Θεοτόκος· καὶ ἐπιδέδωκε τόμον χάρτου, καὶ εἶπε· λάβε τὸν χάρτην καὶ κατάφαγε αὐτόν. ἐνόμισε δὲ ὁ ἅγιος ἀνοῖξαι τὸ στόμα καὶ καταπιεῖν τὸν χάρτην· ἦν δὲ ἡ ἑορτὴ τῶν ἁγίων Χριστοῦ γεννῶν. Καὶ εὐθέως διυπνισθεὶς ἐκ τοῦ ὕπνου, ἐθαύμαζε καὶ ἐδόξαζε τὸν Θεόν· εἶτα ἀναβὰς εἰς τὸν ἄμβωνα, ἤρξατο τοῦ ψάλλειν· ἡ παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει· ποιήσας δὲ καὶ ἕτερα ὡς ἐγγὺς τῶν κοντακίων εἰς τὰ περὶ τὰ χίλια, πρὸς Κύριον ἐξεδήμησεν :·

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Δομνίνου.

Ὁ ἅγιος μάρτυς Δομνῖνος ὑπῆρχεν ἀπὸ τῆς πόλεως Θεσσαλονίκης· χριστιανὸς εὐλαβής, καὶ τὸν Θεὸν φοβούμενος. τοῦ δὲ Μαξιμιανοῦ βασιλεύοντος ἐν Θεσσαλονίκῃ, διαγνωσθεὶς ὡς χριστιανός, ἐκρατήθη αὐτῷ. Καὶ εἶπεν ὁ Μαξιμιανὸς μετὰ ὀργῆς πρὸς αὐτόν· πῶς ἐμοῦ ἐνταῦθα παρόντος σὺ τολμᾷς χριστιανὸν σεαυτὸν ἀνακηρύττειν· καὶ τοὺς θεοὺς ἀποστρεφόμενος ἕτερον θεὸν ὁμολογεῖν; ἀλλὰ θῦσον αὐτοῖς, εἰ βούλει ζῆσαι. τοῦ δὲ ἁγίου εἰπόντος· ἔμαθον γινώσκειν Θεὸν καὶ αὐτὸν προσκυνεῖν καὶ σέβεσθαι· τῶν δὲ νομιζομένων θεῶν καταφρονεῖν χρὴ πάντα χριστιανόν. προσέταξεν ὁ Μαξιμιανὸς τοῖς στρατιώταις μάστιξι καταξαίνειν τὸ σῶμα αὐτοῦ· ὡς δὲ εἶδεν αὐτὸν ἀμετάθετον τὴν γνώμην ἔχοντα πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐκέλευσεν ἀπενεχθέντα τῆς πόλεως ἔξω συντριβῆναι τὰ σκέλη. Καὶ οὕτως συνθλασθείς, ἐπὶ ἡμέρας ἐκαρτέρησε ζῶν μὴ μετασχὼν τροφῆς· εἶτα μετὰ τέλος εὐχαριστῶν, παρέδωκε τὸ πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοφίλου τοῦ ὁμολογητοῦ·:

Ὁ ὅσιος π(ατ)ὴρ ἡμῶν καὶ ὁμολογητὴς τοῦ Χ(ριστο)ῦ Θεόφιλος, ἦν
μοναχὸς εὐλαβὴς καὶ φοβούμενος τὸν Θ(εό)ν ἐπὶ τῆς βασιλεί-
ας Λέοντος τοῦ Ἰσαύρου· ὃν ἰδὼν σπουδάζοντα καταστρέ-
ψαι τὰς ἁγίας εἰκόνας· καὶ πάντας πρὸς τὴν τῶν εἰκονο-
μάχων αἵρεσιν ἐντρέπεσθαι [?]. ζήλῳ θείῳ κινηθεὶς ἐγένετο ἐνώ-
πιον αὐτοῦ. καὶ μετὰ παρρησίας ἤλεγξεν αὐτόν· παράνο-
μον αὐτὸν εἰπὼν καὶ τοῦ ἀντιχρίστου πρόδρομον. καὶ ἀρνη-
τὴν τῆς ὀρθοδόξου πίστεως· ὃς θυμὸν ὅλον καὶ ὀργὴν κινή-
σας αὐτόν, πρῶτον μὲν ἐτύφθη σφοδρῶς καὶ εἰς φυλακὴν
ἐνεβλήθη· καὶ ὑπὸ λιμοῦ τὸ σῶμα κατεδαπανήθη· ἐκ
τῆς φυλακῆς ἐξελήφθη. καὶ πάλιν μὴ ἀναγκασθεὶς ἀρνή-
σασθαι τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν καὶ τὸ σέ-
βας· καὶ μὴ πεισθείς. εἰς ἐξορίαν ἀπεστάλη· καὶ ἐκεῖ
πολλοῖς πειρασμοῖς ὑπομείνας· καὶ μυρία δεινὰ πα-
θών· καὶ ἐν πᾶσι τὸν Θ(εὸ)ν δοξάζων· καὶ τῷ ὀνόματι τῷ
ἁγίῳ αὐτοῦ εὐχαριστῶν. πρὸς Χ(ριστὸ)ν χαίρων ἐξεδήμησεν·:

82

Μηνὶ τῷ αὐτῷ γ΄. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐπισκόπου Ἀθηνῶν·

Ὁ μέγας Διονύσιος ὑπῆρχε μὲν ἐν Ἀθήναις τῇ πόλει εἷς τῶν ἐνδόξων καὶ πλουσίων καὶ σοφῶν· ἔκρινε δὲ εἰς τὸν λεγόμενον Ἄρειον πάγον τὰς δίκας· ἀπελθόντος δὲ τοῦ ἁγίου ἀποστόλου Παύλου εἰς Ἀθήνας καὶ κηρύττοντος τὸν Χριστόν, ταχέως ὢν τὴν σύνεσιν, ἐπέγνω τὴν ἀλήθειαν καὶ ἐπίστευσεν εἰς Χριστόν· καὶ κατηχηθεὶς χειροτονεῖται ἐπίσκοπος Ἀθηνῶν· διδάσκων πολλοὺς τῶν Ἑλλήνων, καὶ προσεπιστρέφων καὶ βαπτίζων· ἔμαθε δὲ καὶ τὰ ἀπόρρητα μυστήρια τοῦ θεοῦ ὑπὸ τοῦ ἁγίου Ἱεροθέου τοῦ ἐπισκόπου. καὶ συνεγράψατο βιβλία πολλὰ περὶ τῶν οὐρανίων δυνάμεων· διαβληθεὶς δὲ τῷ τῶν Ἀθηνῶν ἄρχοντι παρὰ τῶν εἰδωλολατρῶν, ἐκρατήθη μετὰ δύο μαθητῶν αὐτοῦ· καὶ πολλὰ τιμωρηθέντες, πρῶτον μὲν αὐτὸς ἀπεκεφαλίσθη· καὶ δεξάμενος τὴν κεφαλὴν αὐτοῦ ταῖς οἰκείαις χερσί, περιεπάτησε μίλια δύο· καὶ ἐν προτέρῳ ἔθηκεν αὐτήν. ὡς συναντήσας γυναικὶ χριστιανῇ, καὶ ἐπέδωκεν αὐτήν· ἔπειτα ἀπεκεφαλίσθησαν καὶ οἱ δύο μαθηταὶ αὐτοῦ·

✠ Μηνὶ τῷ αὐτῷ δ΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀδαύκτου καὶ Καλλισθένης τῆς αὐτοῦ θυγατρός:

Ἀδαύκτος ὁ μάρτυς ὑπῆρχε μὲν ἀπὸ τῆς πόλεως Ἐφέσου·
ἐπεῖχε δὲ τὴν τοῦ δουκὸς ἀξίαν ἐπὶ Μαξιμίνου τοῦ βα-
σιλέως· εἶχε δὲ καὶ θυγατέρα παρθένον εὐμορφοτάτην
Καλλισθένην ὀνόματι· ἀκούσας δὲ ὁ Μαξιμῖνος περὶ αὐ-
τῆς, ἀποστείλας ἠβουλήθη λαβεῖν αὐτὴν πρὸς αὐτόν· ὁ δὲ πατὴρ αὐ-
τῆς ἔκρυψεν αὐτὴν φυγαδεύσας εἰς τὰ μέρη τῆς ἀνα-
τολῆς· μαθὼν δὲ τοῦτο ὁ Μαξιμῖνος καὶ ὀργισθεὶς ἐκρά-
τησε τὸν Ἀδαυκτον προφάσει τοῦ χριστιανισμοῦ· καὶ δη-
μεύσας ἐξώρισεν εἰς Μεσοποταμίαν· γράψας τῷ τῆς Μεσο-
ποταμίας ἄρχοντι ἀναγκάσαι μὲν αὐτὸν θῦσαι τοῖς εἰδώλοις·
μὴ πεισθέντα δὲ φονεῦσαι· ὁ δὲ ἄρχων μὴ πείσας αὐτόν, ἀ-
πεκεφάλισεν· καὶ ἐτάφη παρὰ τῆς γυναικὸς αὐτοῦ καὶ
τῆς θυγατρός· τῆς δὲ βασιλείας κρατήσαντος Λικιννίου, προ-
σῆλθεν ἡ Καλλισθένη τῇ βασιλίσσῃ· καὶ διηγήσατο πάντα· καὶ
τῇ τῆς βασιλίδος προστάξει, μετεκόμισε τὸ τοῦ πατρὸς αὐτῆς λεί-
ψανον εἰς Ἔφεσον· καὶ αὐτὴ καλῶς ζήσασα, ἐτελειώθη:

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου ἐπισκόπου Καπιτωλέων·

Ἕλλην μὲν ὑπῆρχεν οὗτος ὁ Πέτρος· ἀλλ' ὅτε ἤδη τῆς τοῦ Χριστοῦ διδα-
σκαλίας ἐγεύσατο, πιστεύσας ἐβαπτίσθη μετὰ τῆς γυναι-
κὸς καὶ τῶν τέκνων καὶ ὅλου τοῦ οἴκου αὐτοῦ· εἶτα ἀνα-
γνοὺς καὶ μαθὼν τὴν θείαν γραφήν, τῆς τῶν Καπετωλέ-
ων ἐκκλησίας προεχειρίσθη ἐπίσκοπος· πολλοὺς δὲ
τῶν Ἑλλήνων διδάσκων καὶ πρὸς Χριστὸν ἐπιστρέφων, διωγμοῦ
κινηθέντος κατὰ τῶν χριστιανῶν, ἐκρατήθη παρὰ τῶν
ἀθέων μαγαριτῶν· καὶ σφοδρῶς τυφθεὶς καὶ ἀλύσεσι δεθεὶς, πα-
ρεδόθη τῷ ἄρχοντι· ὁ δὲ ἄρχων μὴ πείσας αὐτὸν θῦσαι τοῖς
εἰδώλοις, τοὺς ὀφθαλμοὺς ἐξώρυξε· καὶ τὴν γλῶσσαν ἐξέ-
τεμε· καὶ τὰ ὦτα ἀπέκοψε· καὶ τὰς χεῖρας καὶ τοὺς
πόδας ἐμπυροκόπησε· μετὰ δὲ τὸ ποιῆσαι ταύτας τὰς
τιμωρίας, σταυρὸν ἐτρέπισας ἐκρέμασε τὸν ἅγιον· εὐχό-
μενον πρὸς τὸν θεὸν καὶ λέγοντα· Κύριε μὴ στήσῃς αὐτοῖς
τὴν ἁμαρτίαν ταύτην· ἔτι δὲ ἐμπνέοντα, ἦλθον οἱ
στρατιῶται καὶ ἀπεκεφάλισαν αὐτόν· καὶ οὕτως ἐτελειώθη:

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἡ κοίμησις τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ἁπλοῦ.

Παῦλος ὁ ἐπικληθεὶς διὰ τὸν τρόπον ἁπλοῖος· ὑπῆρχε
μὲν γεωργός· συνεζεύχθη δὲ γυναικὶ ὡραίᾳ τὴν μορ-
φήν, ἀλλὰ κακοτρόπῳ τὴν γνώμην· ἐλθὼν δέ ποτε
ἀπὸ τοῦ ἀγροῦ εἰς τὸν οἶκον αὐτοῦ, εὗρε τὴν γυναῖκα μετὰ
μοιχοῦ ἁμαρτάνουσαν· καὶ καταλιπὼν καὶ τὸν οἶκον
καὶ τὰ παιδία αὐτοῦ, ἐξῆλθεν εἰς τὴν ἔρημον· καὶ ἀπελ-
θὼν πρὸς τὸν μέγαν Ἀντώνιον, παρεκάλει ποιῆσαι αὐ-
τὸν μοναχόν· ὁ δὲ ἰδὼν αὐτὸν γέροντα, εἶπεν· ἑξήκοντα
ἐτῶν γέρων, πειρασμοὺς ὑπομεῖναι οὐ δύνασαι· καὶ ὁ Παῦ-
λος εἶπεν· ὅτι μοι εἴπῃς ποιῶ· καὶ ἀποπειράσας αὐτόν,
εὗρεν ὅτι πάντα ὑπομένει· καὶ ἐκούρευσεν αὐτὸν καὶ ἐ-
ποίησε μοναχόν· καὶ κτίσας κελλίον κατ' ἰδίαν εἰς [illegible]
[illegible], δέδωκε μένειν ἐκεῖ· οὕτω δὲ ἠγωνίσατο εἰς ἀ-
ρετήν, ὡς καὶ τοῦ θαυματουργεῖν ἀξιωθῆναι· νεανίσκου
γάρ τινος ἔχοντος δαίμονα πρὸς Ἀντώνιον ἐλθόντος, τοῦ Ἀν-
τωνίου παραχωρήσαντος, ἐξέβαλεν αὐτόν· καὶ μετὰ ταῦτα ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου πατριάρχου Ἀλεξανδρείας.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Διονύσιος, ἦν ἐπὶ τῶν χρόνων Οὐαλεριανοῦ καὶ Γαλλιηνοῦ τῶν βασιλέων· διωγμοῦ δὲ κινηθέντος κατὰ τῶν χριστιανῶν μάλιστα δὲ κατὰ τῶν ἐπισκόπων· νομισάντων τῶν βασιλέων· ὅτι ἐὰν οἱ ἐπίσκοποι παραστῶσιν, εὐκόλως τοὺς λοιποὺς χριστιανοὺς ὑποχειρίους ποιήσουσι. κρατήσας ὁ τῆς Ἀλεξανδρείας ἄρχων τὸν ἅγιον Διονύσιον· καὶ πολλὰ καταναγκάσας ἀρνήσασθαι μὲν τὸν Χ(ριστό)ν· θῦσαι δὲ τοῖς εἰδώλοις· καὶ μὴ πείσας, ἐξώρισεν εἰς τὴν ἐνδοτέραν Αἴγυπτον· προστάξας μὴ κινεῖσθαι αὐτὸν ὑπό τινος τῶν φίλων αὐτοῦ· ἀπελθὼν δὲ εἰς τὴν ἐξορίαν καὶ διδάσκων τὴν τοῦ Χ(ριστο)ῦ πίστιν τοὺς προσερχομένους αὐτῷ. οὐ μόνον ἐλιθάσθη παρὰ τῶν εἰδωλολατρῶν καὶ διαφόρως ἐβασανίσθη· ἀλλ' ἐξωρίσθη πάλιν παρὰ τοῦ ἄρχοντος εἰς τραχύτερον τόπον καὶ ἀοίκητον· ἔνθα πολλοῖς πειρασμοῖς ὑπομείνας· τέλος τὴν ἱερὰν αὐτοῦ κεφαλὴν διὰ ξίφους ἀπετμήθη.

4 Oct. [illegible] [illegible] Alexandrini [illegible]

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων καὶ
διακόνων Γαΐου· Φαύστου· Εὐσεβίου. καὶ Χαιρήμονος·

Μαθηταὶ ὑπῆρχον οὗτοι οἱ διάκονοι καὶ μάρτυρες· τοῦ ἁγίου ἱερο-
μάρτυρος Διονυσίου· καὶ ὁ μὲν Γάϊος καὶ ὁ Φαῦστος· σὺν αὐτῷ
ἐξορισθέντες· καὶ πολλὰ βασανισθέντες καὶ ταλαιπωρη-
θέντες· τὸ διὰ μαρτυρίου τέλος ἐδέξαντο· ὁ δὲ Εὐσέβιος καὶ
ὁ Χαιρήμων· μετὰ τὴν τοῦ διδασκάλου αὐτῶν καὶ ἀρχιε-
ρέως ἐξορίαν· ὑπὸ θεοῦ δυναμωθέντες· καὶ τοὺς ἐν φυλακαῖς
ἁγίους ἐπισκεπτόμενοι καὶ θεραπεύοντες· καὶ τὰ τῶν
ἁγίων μαρτύρων λείψανα περιστέλλοντες καὶ θάπτοντες·
διήρκεσαν ἕως τῆς βασιλείας Δεκίου· μὴ ὑποστελλόμε-
νοι τὸ σύνολον· ἀλλὰ παρρησίᾳ ὁμολογοῦντες τὸν Χριστόν. καὶ
τὴν αὐτοῦ σωτήριον ἐνανθρώπησιν τοῖς πᾶσι μάλα κηρύτ-
τοντες· διὰ τοῦτο κρατηθέντες καὶ αὐτοὶ παρὰ τῶν εἰδω-
λολατρῶν· καὶ δεθέντες ἁλύσεσι σιδηραῖς· τῷ τῆς Ἀλεξαν-
δρείας παρεδόθησαν ἄρχοντι· καὶ πολλαῖς βασάνοις ὑ-
ποβληθέντες· τέλος ὁ μὲν Εὐσέβιος ἐπὶ ξύλου κρεμασθεὶς
ξεσθεὶς ἐτελειώθη· ὁ δὲ Χαιρήμων ῥάβδοις τυπτόμενος ἐξέπνευσεν·

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ
ἱεράρχου. Ἱεροθέου:

Ἱερόθεος ὁ μέγας ἱεράρχης· ὑπῆρχε μὲν εἷς τῶν ἐννεαβου
λευτῶν ἐν Ἀθήναις τῇ πόλει. διδάσκαλος δὲ Διονυσίου τοῦ
Ἀρεοπαγίτου· διδαχθεὶς δὲ τὰ περὶ τοῦ Χριστοῦ παρὰ τῶν ἁγίων
ἀποστόλων. ἠκολούθησεν αὐτοῖς καὶ συνεδοξολόγει· ἐξοδίοις ὕ
μνοις συμπλέκων καὶ ψάλλων ἐν τῇ κοιμήσει τῆς ἁγίας ὑπε
ρενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ἐκ
διαπρέπων μὲν μέσον τῶν ἀποστόλων κατὰ πάντα· ἐς τοσοῦ
τον δὲ ἔφθασε σοφίας καὶ γνώσεως θεοῦ. ὡς καὶ τὸν ἅγιον Διο
νύσιον μετὰ τὸ πιστεῦσαι εἰς Χριστὸν ὑπὸ τοῦ μεγάλου ἀποστόλου
Παύλου· τῇ δυνάμει καὶ συνεργίᾳ τοῦ παναγίου πνεύματος. διδάξαι
τὰ περὶ τῶν θείων ὀνομάτων καὶ τῶν ἀγγελικῶν τάξεων.
Καὶ πάντως τοῦ οὐρανίου κόσμου· συνεγράψατο δὲ καὶ ἄλλας
ὕμνους πολλάς· περὶ μυστηρίων μεγάλων διαφερούσας· ζή
σας δὲ τὸν ὅλον τῆς ζωῆς αὐτοῦ χρόνον ἐν εὐλαβείᾳ καὶ
ἀρετῇ· καὶ τὸν θεὸν πολλὰ εὐαρεστήσας· καὶ διὰ τοῦτο καὶ χα
ρισμάτων πολλῶν ἀξιωθείς· τελειωθεὶς ἀνεπαύσατο:

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου Δομετίου τοῦ Πέρσου.

Ὁ ἅγιος Δομέτιος ὑπῆρχεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου ἐκ τῆς χώρας Περσῶν· διδαχθεὶς δὲ ὑπὸ χριστιανοῦ τινὸς τὴν εὐσέβειαν· καὶ βαπτισθείς· ἀφεὶς καὶ γονεῖς καὶ πλοῦτον, ἀπελθὼν εἰς τὸ μοναστήριον τῶν ἁγίων Σεργίου καὶ Βάκχου πλησίον Θεοδοσιουπόλεως· καὶ γέγονε μοναχὸς ἐν ᾧ· καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ, χειροτονεῖται διάκονος· καὶ λειτουργοῦντος τοῦ ἀρχιμανδρίτου· κρατῶν τὸ ῥιπιστήριον πλησίον τῆς ἁγίας τραπέζης, ὁρᾷ τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς περιπετόμενον ἐπὶ τὰ ἅγια δῶρα, καὶ ἐπικαθήμενον αὐτοῖς· τοσοῦτον γὰρ εἶχεν καθαρὰν τὴν ψυχήν, ὡς καὶ τὸ πνεῦμα τὸ ἅγιον σωματοειδῶς θεωρεῖν· καὶ ὑπ᾽ αὐτοῦ φωτίζεσθαι τὴν διάνοιαν· κωλυθέντος δὲ τοῦ ἀρχιμανδρίτου χειροτονῆσαι αὐτὸν καὶ πρεσβύτερον, φυγὼν ἀπῆλθεν ἔν τινι σπηλαίῳ· ἔνθα πολλοῖς τοῖς προσερχομένοις αὐτῷ, διδάσκων ὠφέλει· καὶ μαθὼν τοῦτο Ἰουλιανὸς ὁ παραβάτης, ἀποστείλας ἐλιθοβόλησεν αὐτόν.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀμμοῦν τοῦ Αἰγυπτίου.

Ἀμμοῦν ὁ θεοφόρος ἐν πᾶσι καὶ ταῖς μὲν ἐντολαῖς θαυμαστός· ὑπῆρ-
χε δὲ ἀπὸ τῆς Αἰγύπτου. φιλομόναχος ὢν ἀπὸ νεότητος·
κατὰ δὲ τοὺς καιροὺς Μαξιμιανοῦ τοῦ βασιλέως, ἀνα-
χωρήσας ἐν μέσῃ τῇ ἐρήμῳ· καὶ ἀσκήσας ἐκεῖ καὶ μόνος ἡ-
συχάσας, ἐν μόνον ἱμάτιον φορῶν νυκτὸς καὶ ἡμέρας·
καὶ τρεφόμενος ἐκ τῶν φυομένων βοτανῶν, διήρκεσε
ἐν τῇ ζωῇ αὐτοῦ. μέχρι τῶν ἀγώνων τοῦ μεγάλου Ἀντωνί-
ου· καὶ τῆς μακαρίας ψυχῆς τοῦ Ἀμμοῦν τοῦ σώματος
ἐξελθούσης· καὶ πρὸς οὐρανὸν ἀναφερομένης· καὶ
θεασάμενος ὁ ἅγιος Ἀντώνιος καὶ διδάσκων τινὰς τῶν
ἀδελφῶν ψυχωφελῆ ῥήματα· ἰδὼν τὴν ψυχήν· ἐξαί-
φνης ἀνανεύσας, ἐν ... ἀναφερομένην ὑπὸ ἀγγέλων
καὶ ἐδόξαζε τὸν Θεόν· ἐρωτήσαντες δὲ οἱ παρόντες καὶ μα-
θόντες τὸ πρᾶγμα, ἠκρίβωσαν τὴν ὥραν· καὶ ἀπελθόντες
εἰς Αἴγυπτον μετὰ δὲ καὶ τὴν ἡμέραν. εὗρον ὅτι ἐκοιμήθη
ὁ ἅγιος Ἀμμοῦν κατ' ἐκείνην τὴν ὥραν, ἣν εἶπεν Ἀντώνιος.

✠ τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος
χαριτίνης·

Ἡ μάρτυς τοῦ χ(ριστο)ῦ χαριτίνη. ὑπῆρχεν ἐπὶ διοκλητιανοῦ τοῦ βα-
σιλέως καὶ δομετίου κόμητος. δουλεύουσα κλαυδίῳ τινὶ μόσ·
περὶ ἧς ὁ κόμης ἀκούσας, γράφει τῷ κυρίῳ αὐτῆς ἀποστεῖ-
λαι πρὸς αὐτὸν αὐτὴν εἰς ἐξέτασιν ὡς χριστιανὴν ὑπάρ-
χουσαν· ὁ δὲ κύριος αὐτῆς λυπηθεὶς· σάκκον ἐνδυσάμενος
ἐθρήνησεν αὐτήν· ἡ δὲ, παρεμυθεῖτο αὐτὸν λέγουσα· μὴ λυποῦ
κύριέ μου· τὸ γὰρ λείψανόν μου. ὑπὲρ τῶν ἐμῶν καὶ τῶν
σῶν παραπτωμάτων δίδωμι· ὁ δὲ εἶπεν· μνημόνευσόν μου
ἐπὶ τοῦ ἐπουρανίου βασιλέως· τότε ἀποσταλεῖσα τῷ κόμη-
τι· καὶ χριστιανὴν ἑαυτὴν ὁμολογήσασα. ξυρίζεται τὴν
κεφαλήν· καὶ ζέουσαν ἀνθρακιὰν καταπάσσεται·
εἶτα δεσμεῖται λίθῳ βαρεῖ. καὶ ῥίπτεται ἐν τῇ θαλάσσῃ·
καὶ ἐδέξατο τὸ ὕδωρ εἰς βάπτισμα· καὶ ἐξελθοῦσα, ἐ-
μφανίσθη τῷ κόμητι· καὶ ἰδόντες αὐτὴν οἱ περὶ αὐτόν, ἐ-
θαύμασαν· τότε τοὺς ὀδόντας ἐκριζωθεῖσα· καὶ τῶν χειρῶν
καὶ τῶν ποδῶν τοὺς δακτύλους ἀποκοπεῖσα, ἐτελειώθη·:

5. Oct. Caritina Mart. s.

✠ Μηνὶ τῷ αὐτῷ ϛ. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ.

Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἕκαστος τῶν ἁγίων
ἀποστόλων ἀπελθὼν εἰς τὴν λαχοῦσαν αὐτῷ χώραν
ἐδίδασκεν· ἔλαχε δὲ καὶ τῷ ἁγίῳ Θωμᾷ ἡ τῶν Ἰνδῶν χώ-
ρα· καὶ ἀπελθὼν ἐν αὐτῇ ἐκήρυττε τὸν Χριστόν· πιστευσά-
σης δὲ διὰ τοῦ λόγου αὐτοῦ τῆς γυναικὸς τοῦ βασιλέως
τῶν Ἰνδῶν μετὰ τοῦ υἱοῦ αὐτῆς τῷ Χριστῷ, διαβληθεὶς ὁ Θωμᾶς
καὶ τῇ τοῦ βασιλέως προστάξει ἀπεκλείσθη εἰς φυλα-
κὴν μετὰ καὶ ἑτέρων δεσμωτῶν· δόντες δὲ χρήματα τοῖς
στρατιώταις ὁ υἱὸς τοῦ βασιλέως καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἄλλοι
ὀλίγοι εἰσῆλθον πρὸς αὐτὸν ἐν τῇ φυλακῇ καὶ ἐβαπτί-
σθησαν· καὶ μετὰ χρόνον ἱκανὸν ἐξ αὐτῶν ἐχειροτονήθησαν
πρεσβύτεροι καὶ διάκονοι· καὶ ἐδίδασκον ἐπὶ τῷ ὀνόματι
τοῦ Χριστοῦ· καὶ γνοὺς τοῦτο ὁ βασιλεὺς καὶ ὀργισθεὶς ἐξήγαγε
τὸν ἀπόστολον τῆς φυλακῆς· καὶ παραδοὺς αὐτὸν στρα-
τιώταις προσέταξεν ἀποκτεῖναι· ἀναγαγόντες οὖν εἰς τὸ ὄ-
ρος τὸν ἅγιον μετὰ τῶν κονταρίων πλήξαντες ἀπέκτειναν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα τοῦ ὁμολογητοῦ.

Ἐν ἁγίοις πατὴρ ἡμῶν Νικήτας καὶ ὁμολογητὴς τοῦ Χ(ριστο)ῦ· ὑπῆρ-
χε συγγενὴς Εἰρήνης τῆς βασιλίσσης· ἥ τις προσεβλέ-
πετο αὐτὸν οὐ διὰ τὴν συγγένειαν μόνον, ἀλλὰ καὶ διὰ τὴν
ἀρετὴν αὐτοῦ· οὗτος γὰρ ἠγωνίσατο καὶ ἐδείχθη ἐνάρετος,
ὡς καὶ ἐν τῇ κατὰ Νίκαιαν ἱερᾷ συνόδῳ τὸ δεύτερον ἐκ
προσώπου τῆς δεσποίνης ἐξαποσταλῆναι. καὶ θαρσέως
ἐν αὐτῇ διαπρέψαι· χρόνων δὲ πολλὴν ἱκανότητα τιμη-
θεὶς πατρίκιος, προεχειρίσθη στρατηγὸς Σικελίας· καὶ
καλῶς ἐν αὐτῇ πράξας, καὶ χήρας καὶ ὀρφανοὺς ἐλεήσας
ὑπέστρεψεν· χρόνων δὲ κρατήσαντα τῆς βασιλείας τὸν
εἰκονομάχον Λέοντα τὸν Ἀρμένιον· καταλιπὼν ἀξίω-
μα, πλοῦτον, καὶ πᾶσαν δόξαν τοῦ κόσμου, γίνεται μοναχός.
Καὶ μαθὼν περὶ αὐτοῦ ὁ βασιλεὺς, καὶ θέλων αὐτὸν τιμω-
ρήσασθαι, ἐμήνυσεν αὐτῷ ἀποστεῖλαι τὴν εἰκόνα τοῦ
Χ(ριστο)ῦ, ὅπως κατακαύσῃ αὐτήν· μὴ πεισθέντα δὲ τοῦτο
ποιῆσαι, ἐξώρισεν· καὶ ἐν τῇ ἐξορίᾳ πολλὰ ἀθλήσας ἐτελειώθη.

6 Dec. Niceti Confessoris mon...

Μηνὶ τῷ αὐτῷ ζ'. ἄθλησις τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου.

Σέργιος καὶ Βάκχος οἱ ἔνδοξοι τοῦ Χριστοῦ μάρτυρες, ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· ὡραῖοι τὸ εἶδος· καὶ τῷ βασιλεῖ περίβλεπτοι· ὁ μὲν Σέργιος, πριμικήριος· ὁ δὲ Βάκχος, δεύτερος αὐτοῦ· ἀμφότεροι δὲ ἐγκρατεῖς καὶ σεβόμενοι τὸν Χριστόν· διὰ τοῦτο καὶ διαβληθέντες τῷ βασιλεῖ, ἠναγκάζοντο θῦσαι τοῖς εἰδώλοις· καὶ μὴ καταδεξάμενοι, πρῶτον μὲν ἀφῃρέθησαν τῶν ἀξιωμάτων αὐτῶν καὶ τῶν μανιακίων· καὶ τὴν ἀνδρικὴν ἐκδυθέντες στολήν, ἐνεδύθησαν ἱμάτια γυναικεῖα δημευόμενοι μέσον τῆς πόλεως· ἔπειτα ἐπέμφθησαν πρὸς τὸν τῆς Αὐγουστοπόλεως ἄρχοντα, ὥστε παρ' ἐκείνου τιμωρηθῆναι· κατὰ δὲ τὴν ὁδὸν περιεπάτει ἔμπροσθεν αὐτῶν ἄγγελος τοῦ Θεοῦ, ὁδηγῶν αὐτούς· εἶτα παραδοθέντες τῷ ἄρχοντι, πρῶτος ὁ Βάκχος ἀνδρισάμενος, ἐν αὐταῖς ταῖς βασάνοις ἀπέθανεν· ὁ δὲ Σέργιος ὑποδήμασι σιδηροῖς μετὰ ἥλων ὀξέων τοὺς πόδας καθηλωθεὶς καὶ τρέχειν ἅμα ἀναγκασθείς, ξίφει ἐτελειώθη.

τοῦ μηνα

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας μάρτυρος Πελαγίας.

Πελαγία ἡ μάρτυς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, ἐκ τῆς πόλεως Ταρσοῦ. Κλήμεντος δὲ τοῦ ἐπισκόπου πολλοὺς τῶν Ἑλλήνων βαπτίζοντος, ἡ ἁγία Πελαγία ὁρᾷ κατ' ὄναρ τὸν χαρακτῆρα τοῦ ἐπισκόπου παρακαλοῦντα αὐτὴν πρὸς τὸ βάπτισμα. καὶ αἰτήσασα τὴν μητέρα αὐτῆς ἀπελθεῖν πρὸς τὴν τροφὸν ἀπελθεῖν, ἀπῆλθε πρὸς τὸν ἐπίσκοπον καὶ ἐβαπτίσθη. καὶ μετὰ τὸ βαπτισθῆναι δέδωκε τῷ ἐπισκόπῳ τὴν πολύτιμον αὐτῆς στολήν, δοῦναι τοῖς πτωχοῖς. μετὰ ταῦτα ἀπελθοῦσα πρὸς τὴν μητέρα, οὐκ ἐδέχθη παρ' αὐτῆς. ἀλλ' ἰδοῦσα αὐτῆς τὴν ταπεινὴν στολήν, ἔκλαιε· καὶ δραμοῦσα ἀνήγγειλε τῷ υἱῷ Διοκλητιανοῦ τῷ μέλλοντι αὐτὴν εἰς γυναῖκα [illegible] ὅτι ἀρνεῖται ... ἡ Πελαγία· ὁ δὲ ἀκούσας καὶ λυπηθεὶς, τῷ ἰδίῳ ξίφει ἑαυτὸν ἀνεῖλεν. ὀργισθεὶς δὲ ὁ πατὴρ αὐτοῦ Διοκλητιανὸς κατὰ τῆς ἁγίας, καὶ κρατήσας αὐτήν, ἐμβαλὼν εἰς χαλκοῦν βοῦν ἐκπυρωθέντα ἐξέκαυσε.

97

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η· ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΠΕΛΑΓΙΑΣ ΤΗΣ ΠΑΡΘΕΝΟΥ ΤΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑ:

Η ἁγία πελαγία. ὑπῆρχεν ἐπὶ νουμεριανοῦ τοῦ βασιλέως. ἀπὸ ἀντιοχείας τῆς συρίας. γονέων ἐνδόξων· καὶ θεωρῶν δὲ ὁ ἄρχων τῆς πόλεως ὅτι χαριεστάτη ἐστίν. ἀπέστειλε στρατιώτας τοῦ κρατῆσαι αὐτήν· οἱ δὲ ἀπελθόντες. περιεκύκλωσαν τὸν οἶκον αὐτῆς. βουλόμενοι τοῦ ἁρπάσαι αὐτήν· μαθοῦσα δὲ τοῦτο ἡ ἁγία. παρεκάλεσε μικρὸν περιμεῖναι. ἕως ἂν ἐνδύσηται μὴ καταισχυνθῇ· τῶν δὲ πεισθέντων ἐπὶ τὴν ὑποχώρει. ἐκεῖ σταθεῖσα πρὸς ἀνατολὰς ἐν τῷ τόπῳ ἐν ᾧ εἰώθει προσεύχεσθαι· ἀναστήσασα τὰς χεῖρας. καὶ τοὺς ὀφθαλμοὺς ἄρασα εἰς τὸν οὐρανὸν προσηύξατο ἐπὶ πολὺ πρὸς τὸν θεόν. μὴ παραδοθῆναι τοῖς στρατιώταις· ἀλλὰ πρὸ τοῦ κρατηθῆναι. πρὸς αὐτὸν ἀπελθεῖν ἁγνὴ καὶ καθαρά· καὶ ταῦτα εἰποῦσα· καὶ σεμνῶς περιστείλασα ἑαυτήν. παρέδωκε τὸ πνεῦμα τῷ κυρίῳ· μαθὼν δὲ ταῦτα ὁ ἄρχων μετὰ τῶν σὺν αὐτῷ. ἐξεπλάγη καὶ ἐθαύμασεν:

8. 124 Pelagia virgini Antiochenæ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Πελαγίας τῆς ἀπὸ ἑταιρίδων·

Ὁ ἁγιώτατος πατριάρχης τῆς μεγάλης Ἀντιοχείας· προσεκαλέσατο ἐν ταῖς ἡμέραις ἐκείναις τοὺς ὑπ' αὐτὸν ἐπισκόπους· διά τινα χρείαν ἐκκλησιαστικήν· ἐν οἷς ἦν καὶ Νόννος ὁ ὅσιος ἐπίσκοπος· τούτου δὲ τοῦ Νόννου διδάσκοντος τὸν λαόν· γυνή τις πόρνη ὀνόματι Πελαγία· διήρχετο μετὰ τοῦ ὀφφικίου αὐτῆς κοσμουμένη λίθοις καὶ μαργαρίταις καὶ χρυσῷ καὶ τῇ λοιπῇ φαντασίᾳ· ὥστε καὶ τὸν ἀέρα πληροῦσθαι μύρου· τῶν μὲν ἄλλων ἐπισκόπων ἀποστραφέντων τοὺς ὀφθαλμούς· μόνος ὁ Νόννος ἐνέβλεψεν αὐτὴν ἀτενῶς· ἐστέναξε καὶ εἶπεν ὅτι ταύτην ὁ θεὸς μέλλει προσλαμβάνεσθαι φιλάνθρωπος ὤν· καὶ μετὰ τοῦτο πάλιν διδάσκοντος τοῦ ἐπισκόπου, εἰσῆλθε καὶ ἡ Πελαγία μετὰ τοῦ λαοῦ· καὶ οὕτως κατενύγη· ὥστε καὶ βαπτισθῆναι καὶ δοῦναι τοῖς πτωχοῖς πάντα τὸν πλοῦτον αὐτῆς· εἶτα ἀπελθοῦσα εἰς Ἱεροσόλυμα καὶ γενομένη μοναχὴ τοσαύτην ἔσχε πρὸς θεὸν παρρησίαν· ὥστε καὶ θαύματα ποιῆσαι καὶ οὕτως τελειωθῆναι·

Μηνὶ τῷ αὐτῷ θ'. Ἄθλησις τῶν ἁγίων μαρτύ-
ρων, Ἰουβεντίνου καὶ Μαξίμου.

Οἱ τοῦ Χ(ριστο)ῦ μάρτυρες Ἰουβεντῖνος καὶ Μάξιμος ὑπῆρχον
ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου· ἐν ὅπλοις πε-
ζοὶ στρατιῶται τῶν ἔμπροσθεν αὐτοῦ· καὶ ἀγαπώμενοι
παρ' αὐτοῦ ὑπὲρ τὴν ἀνδρείαν αὐτῶν· Διατρίβοντος δὲ ἐν Ἀν-
τιοχείᾳ τῆς Συρίας· καὶ προστάξαντος μιανθῆναι τὰς
πηγὰς καὶ τοὺς ποταμούς· καὶ τὰ πωλούμενα βρώματα
τῷ αἵματι τῶν θυσιῶν· ὅπως οἱ γινόμενοι αὐτῶν καὶ μὴ θέ-
λοντες μετέχωσι τῆς θυσίας τῶν εἰδώλων. Ὁρῶντες οἱ ἅγιοι
ἐστέναζον δακρύοντες· ἅτε καὶ ἐπὶ τραπέζης καθήμενοι
καὶ ἐσθίοντες· θερμότερον ἐκίνησαν καὶ ζῆλον πρὸς τὸν θ(εὸ)ν·
ἵνα τί κ(ύρι)ε παρέδωκας ἡμᾶς βασιλεῖ ἀποστάτῃ καὶ παρα-
νόμῳ παρὰ πάντα τὰ ἔθνη· ταῦτα τίς τῶν ὁμοτραπέζων
ἀκούσας· κατεμήνυσε τῷ Ἰουλιανῷ· ὁ δὲ ὀργισθεὶς· ἀλλ' ὡς
ἀποσφάλας εἶργε τοὺς ἁγίους ἐν μέσῳ αὐτοῦ· καὶ πολλαῖς αὐ-
τοὺς καὶ χαλεπαῖς βασάνοις περιέβαλεν ὑπομείναντας· καὶ μὴ
πεισθέντας ἀρνήσασθαι τὸν Χ(ριστό)ν· ἔκοψαν τὰς κεφαλὰς αὐτῶν ἀπελθόντες.

9 Oct Juventini et Maximi mart.

✠ Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῆς ὁσίας Ποπλίας τῆς διακόνου :·

Καὶ αὕτη ἡ ἁγία Ποπλία ἐπὶ Ἰουλιανοῦ τοῦ ἄρχε(?) τοῦ παραβάτου ἐγνωρισμένη οὖσα· διάκονος δὲ τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας ἐκκλησίας· περιιόντος μὲν εἰς ἀρετήν· πρὸς ὀλίγον δὲ προσομιλήσασα γάμῳ. καὶ γεννήσασα Ἰωάννην τὸν ἀγαθώτατον πρεσβύτερον· ἔχουσα δὲ χορὸν παρθένων. ἐδοξολόγει τὸν Θεόν· ἐν μιᾷ οὖν τῶν ἡμερῶν μεγάλῃ τῇ φωνῇ ψαλλούσης τὸν ψαλμὸν τὸν λέγοντα· τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον ἔργα χειρῶν ἀνθρώπων· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς· διήρχετο ὁ Ἰουλιανός. καὶ ἀκούσας, προσέταξε σιγῆσαι· ἡ δὲ Ποπλία μᾶλλον ἀναζωσαμένη(?) ἔψαλλε· τότε ὀργισθεὶς ὁ παραβάτης καὶ ἀγαγὼν αὐτὴν ἐνώπιον αὐτοῦ, προσέταξε τοῖς στρατιώταις τύπτειν αὐτὴν κατὰ τοῦ προσώπου. ἡ δὲ ἁγία ἐλέγξασα τὴν ἀσέβειαν αὐτοῦ, ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς σὺν ἐκείναις ψάλλουσα καὶ δοξολογοῦσα τὸν Θεὸν μετὰ τῶν μοναζουσῶν παρθένων· εἶτα καλῶς ζήσασα ἐν εἰρήνῃ(?) ἐτελειώθη :·

9 Oct. Poplie diaconisse in eccla Antiochi Syriae

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου Δωροθέου ἀρχιεπισκόπου πόλεως Τύρου·

Δωρόθεος ὁ ἀοίδιμος ἀνήρ. ἐπίσκοπος γέγονε τῆς πόλε-
ως Τύρου· πᾶσαν γραφικὴν ἐπιστάμενος ἱστορίαν· καὶ
κινηθέντος διωγμοῦ· φυγὼν διὰ τὸν διωγμόν· μετὰ δὲ τελευτὴν Διο-
κλητιανοῦ καὶ Λικιννίου· καταλαβὼν πάλιν τὴν Τύρον·
διεκυβέρνα τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν. μέχρις Ἰουλια-
νοῦ τοῦ παραβάτου· καὶ ἐπειδὴ οὐ φανερῶς ἀλλὰ κρυ-
πτῶς τὸ πρότερον διὰ τῶν ἀρχόντων αὐτοῦ ἐφόνευεν ὁ Ἰ-
ουλιανὸς τοὺς χριστιανούς· ἀκούσας ὁ ἅγιος Δωρόθεος ἀνεχώ-
ρησεν ἐκ τῆς Τύρου. καὶ κατέλαβε τὴν χώραν τῆς Θρᾴκης·
ἀλλ' οὐδὲ ἐκεῖ τὸν ἐκ τῶν εἰδωλολατρῶν θάνατον διέφυ-
γεν· κρατηθεὶς γὰρ παρὰ τῶν Ἰουλιανοῦ ἀρχόντων· καὶ
πολλὰς τιμωρίας ὑπομείνας· καίτοι γέρων ὤν· καὶ ἑ-
κατὸν ἑπτὰ ἐτῶν ὑπάρχων. ἐν αὐταῖς ταῖς βασάνοις δι-
ὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ἀπέθανε· καὶ παρέθετο τὴν
μακαρίαν αὐτοῦ ψυχὴν τῷ κυρίῳ· πολλὰ καὶ ψυχω-
φελῆ συγγράμματα πρότερον συνθεὶς καὶ καταλιπών·

τοῦ γεωργίου

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

Ἰάκωβος ὁ τοῦ Χριστοῦ ἀπόστολος, υἱὸς μὲν ἦν τοῦ Ἀλφαίου, ἀδελφὸς δὲ Ματθαίου τοῦ τελώνου καὶ εὐαγγελιστοῦ· κηρύττων δὲ τὸν λόγον τοῦ Χριστοῦ, καὶ διδάσκων καὶ περὶ τῆς αἰωνίου βασιλείας αὐτοῦ πάντας τοὺς προσερχομένους αὐτῷ Ἰουδαίους τε καὶ Ἕλληνας· καὶ πολλοὺς βαπτίζων διὰ τῆς διδασκαλίας αὐτοῦ εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ζηλοφθονοῦντες οἱ Ἰουδαῖοι, βουλὴν ποιήσαντες καὶ ἐπισυναχθέντες, καὶ κρατήσαντες αὐτόν, καὶ πολλὰ τιμωρήσαντες ὠμῶς καὶ ἀπανθρώπως, τελευταῖον ῥάβδοις πλήξαντες ἐφόνευσαν, δοξάζοντα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μέχρι τῆς ἐσχάτης ἀναπνοῆς· καὶ εὐχαριστοῦντα τῷ ἁγίῳ αὐτοῦ ὀνόματι τῷ βοηθήσαντι καὶ συνεργήσαντι αὐτῷ εἰς τὸ καταισχῦναι καὶ νικῆσαι τὸν διάβολον καὶ τοὺς ποιοῦντας τὰ θελήματα αὐτοῦ· καὶ οὕτως παραδοὺς τὴν μακαρίαν αὐτοῦ ψυχήν, [illegible]

9 Oct. Jacobi Alphaei Apost.

103

μηνὶ τῷ αὐτῷ ι΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐλαμπίου καὶ Εὐλαμπίας.

Εὐλάμπιος ὁ μάρτυς τοῦ Χριστοῦ καὶ Εὐλαμπία ἡ αὐτοῦ ἀδελφὴ ὑπῆρχον ἐκ τῆς πόλεως Νικομηδείας ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ. διὰ δὲ τὸν διωγμὸν κατεκρύπτοντο καὶ ἄλλων πολλῶν χριστιανῶν ἐν τῷ ὄρει. κατελθὼν δὲ ὁ Εὐλάμπιος εἰς τὴν πόλιν πρὸς τὸ ἀγοράσαι τροφάς, καὶ ἰδὼν γράμματα προτεθειμένα εἰς τὴν ἀγορὰν τῶν βασιλικῶν διατάξεων, καὶ ταῦτα ἀναγνοὺς καὶ ἀναγελάσας, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν καὶ παρεδόθη τῷ βασιλεῖ. καὶ ἀναγκασθεὶς εἰσελθεῖν εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ θῦσαι, εἰσελθὼν προσηύξατο τῷ Χριστῷ· καὶ πεσόντα τὰ εἴδωλα συνετρίβησαν. βασανιζομένου δὲ αὐτοῦ διὰ τοῦτο, μαθοῦσα ἡ ἀδελφὴ αὐτοῦ Εὐλαμπία τὸ γινόμενον, κατῆλθεν ἐκ τοῦ ὄρους καὶ περιεπλάκη τῷ ἀδελφῷ μέσον τοῦ ὄχλου. καὶ συναγωνίζεται αὐτῷ. ὅθεν ἐμβληθέντες εἰς λέβητα καὶ κολαζόμενοι, ἐξῆλθον ἀβλαβεῖς. καὶ ἰδόντες τὸ θαῦμα διακόσιοι στρατιῶται, ἐπίστευσαν τῷ Χριστῷ· καὶ σὺν αὐτοῖς ἀπεκεφαλίσθησαν.

10 Oct. Eulampii et Eulampiae

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βασσιανοῦ.

Ὁ ὅσιος πατὴρ ἡμῶν Βασσιανὸς ἦν ἐξ ἀνατολῶν τῆς Σύρων
χώρας· ἐπὶ δὲ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως ἐλθὼν
ἐν Κωνσταντινουπόλει· καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ γνω-
ρίσας αὐτὸν ὁ βασιλεύς, εἶχεν αὐτὸν ὡς πατέρα· τοσοῦτον, ὅτι καὶ
ναὸν ἔκτισεν ἐπὶ τῷ ὀνόματι αὐτοῦ· ὅστις μέχρι τῆς σήμε-
ρον ὑπάρχει· τοιοῦτος δὲ ἦν ψυχωφελὴς καὶ διδακτικός· ὡς
πολλοὺς πείθειν τὸν κόσμον καταλιμπάνειν καὶ μοναχοὺς
γίνεσθαι· ἐξ ὧν ἦν καὶ ἡ ἁγία Ματρῶνα· ἐπληθύνθη γὰρ ὁ ἀρι-
θμὸς τῶν μαθητῶν αὐτοῦ μέχρι τριακοσίων· ἀλλὰ καὶ θαύ-
ματα πολλὰ ἐποίησε· καὶ τοὺς εἰς πάθη σωματικὰ περιπε-
σόντας μεγάλα καὶ ἰᾶσα τοῖς νόσοις ἐνεχομένοις· συμπαθὴς
ὢν· τῶν τοῦ διαβόλου χειρῶν ἐλυτροῦτο· καὶ διὰ μετανοίας
προσέφερε τῷ φιλανθρώπῳ θεῷ· ἦν δὲ καὶ προορατικός· καὶ
προλέγων τὰ μέλλοντα, ὠφέλει πολλούς· οὕτω δὲ βιώ-
σας ἐν μακροτάτῳ γήρᾳ πρὸς κύριον ἐξεδήμησε· καὶ ἐτά-
φη παρὰ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ δειχθέντι αὐτοῦ ναῷ.

10 Oct Bassiani

ιοη

✝ Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου τοῦ ἀσκητοῦ.

Ὁ ὅσιος πατὴρ ἡμῶν Ἰάκωβος ἐν ἀσκήσεσι ταῖς μεγάλαις ἐμμείνας, νικήσας μὲν τὸν διάβολον καὶ νικηθεὶς ὑπ' αὐτοῦ καὶ περιπεσών, ἀλλὰ πάλιν νικήσας αὐτὸν γενναιότερον· οἰκήσας γὰρ ἐν σπηλαίῳ καὶ ἡσυχάσας ἔτη δεκαπέντε, ἔλαβε παρὰ θεοῦ ἐξουσίαν τοῦ διώκειν τοὺς δαίμονας. Φθονῶν δὲ αὐτῷ ὁ διάβολος ῥίπτει εἰς πορνείαν καὶ φόνον. Εἰσελθὼν γὰρ εἰς θυγατέρα πλουσίου τινός, καὶ παρασκευάσας αὐτὴν ἐπικαλεῖσθαι τὸν μέγαν· ἐρωτήσαντες οἱ γονεῖς τῆς κόρης καὶ εὑρόντες τὸ σπήλαιον, ἀπήγαγον αὐτὴν πρὸς αὐτὸν καὶ παρεβιάσαντο θεραπεῦσαι· ὁ δὲ εὐξάμενος, ἐξήλασε μὲν ἐκ τῆς κόρης τὸν δαίμονα· καὶ φοβηθέντες οἱ γονεῖς αὐτῆς μήπως ἐπέλθῃ πάλιν εἰς αὐτὴν ὁ δαίμων, ἀφῆκαν ἐκεῖ ἕως οὗ τελείως ὑγιάνῃ· ἔφθειρε μὲν οὖν τὴν κόρην ὁ ἀσκητής, καὶ ταύτην ἐφόνευσε· καὶ φοβηθεὶς ἔφυγε· καὶ κατὰ τὴν ὁδὸν μεταμεληθεὶς εἰσῆλθεν εἰς τάφον κλαίων· καὶ τοσοῦτον ἐκαθαρίσθη τῆς ἁμαρτίας, ὥστε ἐν ἀνομβρίᾳ διὰ εὐχῆς ὑετὸν καταγαγεῖν· καὶ οὕτως ἐτελειώθη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ. ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΖΗΝΑΪΔΟΣ ΚΑΙ ΦΙΛΟΝΙΛΛΗΣ ΤΗΣ ΑΔΕΛΦΗΣ ΑΥΤΗΣ

Ἡ ὁσία Ζηναῒς μετὰ τῆς ἀδελφῆς αὐτῆς Φιλονίλλης. ὑπῆρχον
μὲν ἐκ τῆς πόλεως Ταρσοῦ, συγγενεῖς οὖσαι τοῦ ἁγίου ἀποστό-
λου Παύλου. μετῆλθον δὲ τὴν ἰατρικὴν τέχνην. ἀλλ' αἱ μὲν
ἐμπυρευθεῖσαι ὑπ' αὐτοῦ. καταλιποῦσαι καὶ τέχνην καὶ πάντα
τὸν πλοῦτον αὐτῶν καὶ τὴν ἀδελφήν. καὶ ἀνῆλθον εἰς τὸ
ὄρος καὶ ὀρύξασαι σπήλαιον. ἐκεῖ ἔμενον ἐν αὐτῷ καὶ ἡσύχαζον
τῷ θεῷ μόνῳ καὶ ἑαυταῖς προσέχουσαι. καὶ τρεφόμεναι ἐκ τῶν
παραφυομένων τῷ σπηλαίῳ βοτανῶν. ἐν μιᾷ δὲ τῶν ἡ-
μερῶν ἐξελθοῦσαι τοῦ σπηλαίου πρὸς τὸ συναγαγεῖν μικρὰς τὰ-
μας. ὁ πατὴρ ἐν ... ξύλου ὀξυτάτου. ὑπὸ τῆς τοῦ διαβόλου
συνεργίας. μὴ φέροντος μὲν πεῖν τοῖς καὶ διὰ τὴν πρὸς
αὐτὴν ἐρχομένοις κρύφα. καὶ ποιοῦντας διὰ τῆς τοῦ Χριστοῦ
καὶ παριαμένης γενομένη. καὶ καθίσασαι ἐν ... τὸ μνῆμα.
παρέδωκε τὸ πνεῦμα τῷ κυρίῳ. ἡ δὲ Φιλονίλλα ἐν τῷ οἴκῳ μένουσα
καὶ ἀγωνιζομένη μὴ ἰδοῦσα δὲ τῆς ἀδελφῆς τὴν ... ἀπολαῦσαι
ἀλλ' αὐτὸν θεὸν πολλὰ θεραπεύσασα. ἐν εἰρήνῃ ἐκοιμήθη.

11 Oct. Zenaidis et Philonillae sororum ex ...

107

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου ἀποστόλου Φιλίππου, τοῦ ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων·

Φίλιππος ὁ τοῦ Χριστοῦ ἀπόστολος· ὑπῆρχε μὲν εἷς τῶν ἑπτὰ διακόνων· ἦν δὲ ἐν τῇ πόλει Ἰόππῃ κηρύττων τὸν Χριστόν· τῇ δὲ παρακελεύσει τοῦ ἀγγέλου ἀπῆλθε πορευόμενος ἀπὸ τῆς Ἰόππης πρὸς Γάζαν τὴν πόλιν. συνήντησε τῷ τῆς βασιλίσσης τῶν Αἰθιόπων δυνάστῃ· εὐνούχῳ μὲν ὑπάρχοντι. καὶ δὲ λαβομένῳ ἐπὶ ἅρματος ἵππων καθεζομένῳ. καὶ ἀναγινώσκοντι τὸν προφήτην Ἠσαΐαν· καὶ προσελθὼν ἠρώτησεν αὐτόν· ἄρα γε γινώσκεις ἃ ἀναγινώσκεις; ὁ δὲ εἶπε· πῶς ἂν δυναίμην ἐὰν μή τις ὁδηγήσῃ με· καὶ ἐκέλευσεν ἀνελθεῖν αὐτὸν ἐπὶ τοῦ ἅρματος. καὶ διηρμήνευσεν αὐτῷ τὰς γραφὰς ... καὶ ὡδήγησεν αὐτὸν εἰς τὴν τοῦ Χριστοῦ πίστιν· καὶ εὑρόντες ὕδωρ λέγει ὁ εὐνοῦχος τῷ Φιλίππῳ· ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι· καὶ κατέβησαν ἀπὸ τοῦ ἅρματος καὶ ἐβαπτίσθη· τὸν δὲ Φίλιππον οὐκ ἔτι εἶδεν· ἡρπάγη γάρ· ἀλλ' ἐπορεύετο τὴν ὁδὸν αὐτοῦ χαίρων· μετὰ ταῦτα ὁ Φίλιππος ἐν Τράλλῃ τῆς Ἀσίας ἐπίσκοπος γενόμενος ἐτελειώθη·

11 Oct. Philippi Apli de quo in Actis Apost.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ. Η ΑΝΑΜΝΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΕΒΔΟΜΗΣ ΣΥΝΟΔΟΥ ΤΩΝ ΤΞΖ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ

Ἡ ἁγία ἑβδόμη καὶ οἰκουμενικὴ σύνοδος ἀθροίζεται μὲν κατὰ τὸ
δεύτερον ἔτος τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς
αὐτοῦ μητρός· ὑπάρχοντος πατριάρχου Κωνσταντινουπόλεως
Ταρασίου τοῦ ἁγιωτάτου καὶ θεοφόρου πρὸς Νίκαιαν· ὄντες δὲ
οἱ ἅγιοι πατέρες τὸν ἀριθμὸν τριακόσιοι ἑξήκοντα ἑπτά. συ-
νῆλθον κελεύσει τοῦ βασιλέως κατὰ τῶν εἰκονομάχων· καὶ
ἀναθεματίσαντες ἐγγράφως πᾶσαν αἵρεσιν. καὶ τοὺς τῶν αἱρέ-
σεων ἀρχηγούς· εἶτα καὶ τοὺς εἰκονομάχους ἅπαντας πάν-
τας ὁμοφρόνως ἀποφήναντες· ὅτι ὁ τὰς ἁγίας εἰκόνας μὴ προσκυ-
νῶν. ἀλλότριός ἐστι τῆς τῶν ὀρθοδόξων πίστεως· καὶ ὅτι ἡ τῆς
εἰκόνος τιμὴ ὡς ὁ μέγας ἔφη Βασίλειος. ἐπὶ τὸ πρωτό-
τυπον διαβαίνει· ὁ γὰρ προσκυνῶν τὴν εἰκόνα καὶ τιμῶν.
προσκυνεῖ ἐν αὐτῇ καὶ τιμᾷ τοῦ ἐγγραφομένου τὴν ὑπό-
στασιν· καὶ οὕτω διαταξάμενοι· καὶ τὴν ὀρθόδοξον πίστιν
ἐγγράφως κυρώσαντες· καὶ παρὰ τοῦ βασιλέως τιμη-
θέντες. ἕκαστος εἰς τὴν ἑαυτοῦ ἐπισκοπὴν ἀπελύθη·:

Τῇ αὐτῇ ἡμέρᾳ. Ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου.

Οἱ τρεῖς πολύαθλοι μάρτυρες· Πρόβος, Τάραχος καὶ Ἀνδρόνικος, ὑπῆρχον μὲν ἐν τοῖς τῆς βασιλείας Διοκλητιανοῦ· χριστιανοὶ δὲ ὄντες καὶ τὸν Χριστὸν ὁμολογοῦντες, ἐκρατήθησαν παρὰ τοῦ τῆς Κιλικίας ἄρχοντος· καὶ πρῶτος μὲν συντριβεὶς τὸ πρόσωπον ὁ Τάραχος, ἀποκλεισθεὶς φυλακῇ· δεύτερος δὲ τυφθεὶς ὁ Πρόβος καὶ σιδηρωθείς, παρεδόθη καὶ αὐτὸς τῇ φυλακῇ· καὶ τρίτος ὁ ἅγιος Ἀνδρόνικος τυφθείς, καὶ τοὺς μηροὺς ξίφει χαραχθείς, καὶ τὰς πλευρὰς ξεσθείς, καὶ μετὰ τοὺς ἀγῶνας ἀνατριβείς, ἐνεβλήθη μετὰ τῶν λοιπῶν εἰς τὴν αὐτὴν φυλακήν· εἶτα ἀπὸ Κιλικίας δεθέντες, ἠχθήσαν εἰς Μοψουεστίαν· καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστόν, πάλιν ἐβασανίσθησαν· ὁ μὲν Τάραχος τὸ στόμα συνθλασθεὶς καὶ τὴν κεφαλὴν ξυρισθείς· ὁ δὲ Ἀνδρόνικος τὴν γαστέρα ῥάβδοις τυφθείς· ὁ δὲ Πρόβος μετὰ σουβλίων πεπυρωμένων τὰς μασχάλας καὶ τὰ νῶτα καταφλεχθεὶς καὶ πληγὰς ὅμως τοσούτους ὑπομείναντες ἀγῶνας, ὕστερον ἀπεκεφαλίσθησαν.

12 Oct. Probi Tarachi et Andronici mart.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀναστασίας τῆς παρθένου·

Ἡ μάρτυς τοῦ Χριστοῦ Ἀναστασία. ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας
Δεκίου καὶ Οὐαλεριανοῦ ἐκ τῆς πόλεως Ῥώμης· ἦν δὲ
μονάζουσα μετὰ καὶ ἑτέρων παρθένων ἐν μοναστηρίῳ τι-
νί· διεμηνύθη οὖν τῷ ἄρχοντι· ὁ δὲ ἀποστείλας ἤγαγε μὲν
αὐτὴν πρὸς ἑαυτὸν μετὰ κλοιοῦ σιδηροῦ· καὶ σταθεῖσα ἔμ-
προσθεν τοῦ ἄρχοντος· καὶ ἐρωτηθεῖσα. ὡμολόγησε
τὸ ὄνομα τοῦ Χριστοῦ· καὶ τύπτεται εἰς τὸ πρόσωπον· καὶ γυ-
μνοῦται· καὶ ὑπὸ πυρὸς κατακαίεται· ἐπιρραινομέ-
νων ἐπάνω αὐτῆς πίσσης καὶ ἐλαίου καὶ θειαφίου· εἶ-
τα κρεμᾶται ἐν τῷ ξύλῳ· καὶ στρεφομένου τοῦ σφυρακίου.
ἐτρίζοντο τὰ ὀστᾶ αὐτῆς· εἶτα ἀποτέμνεται τοὺς δύο αὐτῆς
μαστούς· καὶ τοὺς ὄνυχας ἀνασπᾶται· καὶ μετὰ ταῦτα κό-
πτεται τὰς δύο χεῖρας· εἶτα τοὺς δύο πόδας· καὶ ἐκρι-
ζοῦται τοὺς ὀδόντας· καὶ ἑτέρας τιμωρίας πολλὰς ὑ-
πομείνασα. τελευταῖον τὸ διὰ ξίφους δέχεται τέλος·
Καὶ οὕτως παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ·

Τῇ αὐτῇ ἡμέρᾳ. Ἄθλησις τῆς ἁγίας μάρτυρος
Δομνίνης.

Ἡ μάρτυς τοῦ Χ(ριστο)ῦ Δομνῖνα ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ
βασιλέως· ἐκ τῆς Ἀναζαρβοῦ πόλεως· ἐκρατήθη δὲ
ὡς χριστιανὴ παρὰ δημίων Ἑλλήνων. καὶ παρέστη τῷ
κριτηρίῳ Λυσίου τοῦ δουκός· καὶ ὁμολογήσασα μετὰ
παρρησίας ἐνώπιον πάντων τὸ ὄνομα τοῦ κ(υρίο)υ ἡμῶν
Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· καὶ Θ(εὸ)ν ἀληθινὸν αὐτὸν [illegible]οῦσα καὶ ποιητὴν τοῦ
παντός· τοὺς δὲ τῶν Ἑλλήνων θεοὺς ψευδεῖς ἀποδείξα-
σα· καὶ λίθους καὶ ξύλα καὶ σαθρὰν ὕλην. τύπτεται ἀνη-
λεῶς· καὶ μετὰ σουβλίων πεπυρωμένων τοὺς πόδας
διαπείρεται· εἶτα εἰς φυλακὴν ἐμβάλλεται· ἀχθεῖσα δὲ
πάλιν εἰς δευτέραν ἐξέτασιν. τύπτεται μετὰ ῥάβδων
ἰσχυρῶς· καὶ ἐξαρθροῦται διὰ χειρολάβων τὰ ἄρθρα
τῶν μελῶν· καὶ πάλιν ῥίπτεται εἰς φυλακήν· κἀκεῖ ἐν
αὐτῇ οὖσα· εὐχαριστοῦσα καὶ προσευχομένη, παρέ-
θετο τῷ Θ(ε)ῷ ὑπὲρ οὗ καὶ ἐμαρτύρησε τὴν μακαρίαν
αὐτῆς ψυχήν· τὸ δὲ λείψανον αὐτῆς ἐτάφη ἐντίμως.

23 Oct. Domine mart[illegible]

Μηνὶ τῷ αὐτῷ ιγ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κάρπου, Παπύλου καὶ τῶν σὺν αὐτοῖς Ἀγαθοδώρου καὶ Ἀγαθονίκης.

Οἱ ἅγιοι μάρτυρες Κάρπος καὶ Πάπυλος ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως· καὶ ὁ μὲν ἅγιος Κάρπος ἐπίσκοπος ἦν Θυατείρων· ὁ δὲ Πάπυλος διάκονος· κρατηθέντες οὖν παρὰ τοῦ ἄρχοντος τῆς Ἀσίας καὶ ἐρωτηθέντες, ὡμολόγησαν ἐνώπιον πάντων τὸ ὄνομα τοῦ δεσπότου Χριστοῦ· καὶ καταναγκασθέντες θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες, προσεδέθησαν ἵπποις· καὶ περιεσύρησαν ἔμπροσθεν τοῦ ἄρχοντος· συρόμενοι πρὸς τὰς σάρκας· καὶ κρεμασθέντες ἐπὶ ξύλων ἐξέοντο· ὁ δὲ Ἀγαθόδωρος δοῦλος ὢν τῶν ἁγίων καὶ ἀκόλουθος ὢν αὐτοῖς, βασανισθεὶς ἐτελειώθη· κρεμάμενος δὲ ὁ ἅγιος Κάρπος ἐμειδίασε· καὶ εἰπόντος τοῦ ἄρχοντος τίνος χάριν ἐγέλασας Κάρπε; ἀπεκρίθη· εἶδον τὴν δόξαν τοῦ Θεοῦ καὶ ἐχάρην· καταικισθέντων δὲ ὑπὸ τῶν ξύλων, ἐνεβλήθησαν εἰς τὸ πῦρ· καὶ παροῦσα ἡ ἀδελφὴ τοῦ ἁγίου Παπύλου Ἀγαθονίκη εἰσῆλθε χαίρουσα ἀφ' ἑαυτῆς εἰς τὴν κάμινον· καὶ παρέδωκαν ἀμφότεροι τὰς ψυχὰς τῷ Κυρίῳ.

13 Oct. Carpi papii Agatadori et Agatonices martyr.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρ(ος) φλωρεντίου·:

Ὁ μάρτυς φλωρέντιος· ὑπῆρχεν ἐκ τῆς πόλεως θεσ-
σαλονίκης· χριστιανὸς δὲ ὢν καὶ ζηλωτὴς τοῦ καλοῦ.
ὕβριζε καὶ διέβαλλεν ἅπαντας τοὺς θεοὺς τῶν
ἑλλήνων. καὶ τὴν θρησκείαν αὐτῶν ἀναθεμάτιζεν·
ἐδίδασκε δὲ πάντας τὴν ἀληθινὴν πίστιν τοῦ χυ·
καὶ ἐκήρυζε τοῖς χριστιανοῖς καὶ παρεκάλει. πρὸς
τὸ ποιεῖν τὰ θελήματα τοῦ θυ· οὕτω δὲ ποιῶν. ἐκρα-
τήθη παρὰ τοῦ τῆς χώρας ἄρχοντος· καὶ ἐρωτηθεὶς.
ὡμολόγησεν ἐνώπιον αὐτοῦ τὸν κν ἡμῶν ιν χν ἅμα μό-
νον θν· τοὺς δὲ τῶν ἑλλήνων θεοὺς· ξύλα ὑπάρχειν καὶ
λίθους· καὶ χρυσὸν καὶ ἄργυρον καὶ χαλκὸν καὶ σίδηρον.
εἴδωλα ἄψυχα καὶ ἀναίσθητα· καὶ ταῦτα εἰπών· καὶ
εἰς ὀργὴν κινήσας τὸν ἄρχοντα. τιμωρεῖται διαφόρως·
εἶτα κρεμᾶται ἐπὶ ξύλου καὶ ξέεται· καὶ πυρᾶς ἀναφθεί-
σης μεγάλης· ἐμβάλλεται εἰς αὐτὴν χαίρων· καὶ ἐν αὐ-
τῇ προσευχόμενος καὶ εὐχαριστῶν τῷ θῷ ἐτελειώθη·:

13 O. Florentij martyris Thessalonicen.

Μηνὶ τῷ αὐτῷ ιδ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου καὶ Κελσίου.

Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως ἐν τῇ Ῥώμῃ. Καὶ ὁ μὲν Ναζάριος, υἱὸς Ἀφρικανοῦ καὶ Περπετούας, τῶν βαπτισθέντων παρὰ τοῦ ἁγίου Πέτρου· αὐτὸς δὲ βαπτισθεὶς ὑπὸ Λίνου πατριάρχου Ῥώμης· καὶ ὑπάρχων χρόνων εἴκοσι, ἀπῆλθεν εἰς τὰς πόλεις Ἰταλίας· καὶ ἐκήρυσσε τὸν Χριστόν· εἶτα ἦλθεν εἰς πόλιν τινὰ ἔνθα κατέλαβε Προτάσιον καὶ Γερβάσιον ὄντας εἰς τὴν φυλακὴν διὰ τὴν εἰς Χριστὸν πίστιν. Ὑπὸ τοῦ τῆς χώρας ἄρχοντος τυφθεὶς δὲ καὶ τῆς πόλεως ἐκδιωχθείς, ἀπελθὼν εἰς ἑτέραν πόλιν· καὶ προσλαμβάνει Κέλσιον, τριῶν χρόνων ὄντα· εἶτα τὴν πόλιν Μεδιόλανον καταλαμβάνει· εὑρίσκει πάλιν ἐν τῇ φυλακῇ τοὺς ἁγίους Γερβάσιον καὶ Προτάσιον· καὶ κρατηθεὶς παραπέμπεται ἐν Ῥώμῃ παρὰ τοῦ ἄρχοντος· καὶ πάλιν εἰς Μεδιόλανον ὑποστρέψας, τέμνεται τὴν κεφαλὴν ἅμα τοῖς λοιποῖς ἁγίοις, καὶ τοῦ παιδίου Κελσίου, ὑπάρχοντι χρόνων ἐννέα, καὶ μηνῶν ἑπτά.

Μηνὶ τῷ αὐτῷ ιε΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λουκιανοῦ.

Λουκιανὸς ὁ μάρτυς, ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας
ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· καὶ διὰ θάνατον τῶν γο-
νέων, δοὺς τὰ ὑπάρχοντα αὐτοῦ πτωχοῖς, προσεῖχε τῇ ἀνα-
γνώσει τῶν θείων γραφῶν· καὶ πολλοὺς τῶν Ἑλλήνων ἐ-
πέστρεψεν ἐπὶ τὸν Κύριον· καταλιπὼν δὲ τὴν Ἀντιόχειαν, κα-
τέλαβε τὴν Νικομήδειαν· ἐν ᾗ ὁ Διοκλητιανός, τοὺς χρι-
στιανοὺς ἐφόνευε· καὶ ἐπεὶ πολλοὺς εὗρε διὰ φόβον τὸν
χριστιανισμὸν βουλομένους ἀρνήσασθαι, θαρσοποιήσας
ἔπεισε μαρτυρῆσαι· τοσοῦτον δὲ γέγονε διὰ ἀρετῆς θαυμάσιος,
ὥστε τὴν πόλιν περιέρχεσθαι· καὶ παρὰ πάντων θέλειν βλέ-
πεσθαι. παρ᾽ αὐτοῦ δὲ μὴ θέλειν μὴ ὁρᾶσθαι· περὶ τούτου μα-
θὼν ὁ Διοκλητιανὸς· καὶ φοβηθεὶς εἰς πρόσωπον αὐτὸν
ἀγαγεῖν, μήποτε παρ᾽ αὐτοῦ ἐλεγχθῇ, κρεμάσας βῆλον μέσον συνέτυ-
χεν αὐτῷ· καὶ ἰδὼν τὸ τῆς γνώμης αὐτοῦ ἀμετάθετον, καταδικά-
ζει αὐτὸν λιμοκτονηθῆναι· ἐπὶ πολλὰς δὲ ἡμέρας μὴ μεταλα-
βὼν τροφῆς, ἐν τῇ φυλακῇ ἐτελειώθη· καὶ ἐρρίφη ἐν τῇ θαλάσσῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σαβίνου ἐπισκόπου.

Ὁ μακάριος Σαβῖνος διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν
καὶ κατάστασιν, ἐγένετο πρότερον ἐπίσκοπος· εἶτα τοὺς θο-
ρύβους τοῦ κόσμου καταλιπὼν διὰ τὸ τῆς ἡσυχίας καλόν,
ἐμάκρυνε φυγαδεύων ἐν ταῖς ἐρήμοις. καὶ τοσοῦτον ἠγωνί-
σατο πρὸς ἀρετήν· νηστείαις καὶ ἀγρυπνίαις καὶ ἀσκή-
σει ἑαυτὸν ἐπιδούς, ὡς καὶ θαυμάτων ἀξιωθῆναι πολλῶν·
νόσους ἀπελαύνειν· λεπροὺς καθαρίζειν· δαίμονας δι-
ώκειν. καὶ προλέγειν τὰ μέλλοντα· πολλοὺς δὲ ὠφε-
λήσας· καὶ πρὸς ἀρετὴν ἐπιδοῦναι ποιήσας διὰ τῆς
διδασκαλίας αὐτοῦ. καὶ γὰρ πολλοὶ προσήρχοντο αὐτῷ
χάριν ὠφελείας· καὶ πείσας ἀφεῖναι καὶ γονεῖς καὶ ἀδελ-
φοὺς καὶ οἰκίας· καὶ τῷ μοναχικῷ βίῳ προσελθεῖν καὶ
χριστῷ δουλεύειν. καὶ θεραπεύειν αὐτὸν διὰ καθαρότητος καὶ
τῆς τῶν ἐντολῶν ἐργασίας, ἐν εἰρήνῃ ἐτελειώθη· τὸ
μὲν ἱερὸν πνεῦμα αὐτοῦ παραδοὺς τῷ κυρίῳ· τὸ δὲ τίμιον
αὐτοῦ λείψανον τῇ συγγενείᾳ· ἔτι καὶ νῦν βρύον ἰάματα.

Μηνὶ τῷ αὐτῷ ιϛ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου.

Ἐπὶ Τιβερίου Καίσαρος ἦν οὗτος· ἐκ τῆς χώρας τῶν Καππαδοκῶν· ἑκατοντάρχης ὑπάρχων. καὶ στρατευόμενος ὑπὸ Πιλάτῳ τῷ τῆς Ἰουδαίας ἡγεμόνι· ὅστις καὶ προσέταξεν αὐτῷ ὑπηρετῆσαι εἰς τὰ τίμια πάθη τοῦ Χυ καὶ τὴν φρούρησιν. μετὰ τῶν ὑπ᾽ αὐτὸν στρατιωτῶν· ἀλλ᾽ αὐτὸς ἰδὼν τὰ ἐπὶ τοῦ σταυροῦ τοῦ Χυ γενόμενα θαύματα· τὸν σεισμόν· τοῦ ἡλίου τὸ σκότος· τοὺς ἀνοιγέντας τάφους· τοὺς ἐγερθέντας νεκρούς· τὰς σχισθείσας πέτρας· ἀνεβόησεν· ἀληθῶς Θυ υἱὸς ἦν οὗτος· καὶ καταλιπὼν τὴν ἐπικειμένην αὐτῷ στρατείαν· καὶ τὴν ἰδίαν χώραν καταλαβών· ἐκήρυττε τὸν Χν· καὶ μαθόντες τοῦτο οἱ Ἰουδαῖοι. ἔδωκαν τῷ Πιλάτῳ χρήματα· καὶ ὁ Πιλάτος ἔγραψε πρὸς Τιβέριον κατὰ τοῦ Λογγίνου· ὁ δὲ ἀποστείλας. ἀπεκεφάλισεν αὐτὸν καὶ τοὺς σὺν αὐτῷ δύο στρατιώτας· ἀποστείλας τὴν κεφαλὴν αὐτοῦ εἰς Ἱλημ· ἥτις ἐρρίφη ἐν κόπρῳ· ὕστερον δὲ γυνή τις ἀπὸ Καππαδοκῶν τυφλὴ ἐκ θείας ὀπτασίας ἀπελθοῦσα εἰς Ἱλημ· ἐξευροῦσα τὴν κεφαλήν. ἀνέβλεψεν :·

✠ Μηνὶ τῷ αὐτῷ ιζ´. ἄθλησις τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρείας·

Οὗτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως· καὶ ὁ μὲν
Χρύσανθος ἀπ' Ἀλεξανδρείας ἦν [illegible] ὁ μὲν συγκλη-
τικοῦ ὑπάρχων υἱός [illegible] ἐπισκό-
που ἐν σπηλαίῳ κρυπτομένου· ἀλλὰ ταῦτα γνοὺς ὁ πατὴρ
αὐτοῦ, ἐμβάλλει αὐτὸν εἰς σκοτεινὴν φυλακήν· εἶτα κα-
ταναγκάζει λαβεῖν γυναῖκα· καὶ δίδωσιν αὐτῷ Δαρείαν
τὴν φιλόσοφον· ὁ δὲ Χρύσανθος ἰδὼν αὐτήν, ἐχρήσατο αὐτῇ
ὡς ἀδελφῇ καὶ συνεβουλεύσαντο τοῦ μέχρι θανάτου μεῖναι παρ-
θένοι· εἶτα ἐβαπτίσθη καὶ αὐτή· καὶ ἐδίδασκον ἀμφότεροι
τὸν λαὸν περὶ ἁγνείας καὶ σωφροσύνης· ἠγανάκτησαν δὲ οἱ
Ἕλληνες ὅτι τὰς γυναῖκας ἑαυτῶν πείθουσι καταλιμπάνειν,
μειράκιά τε καὶ μὴ συνοικεῖν αὐτοῖς· καὶ διαβάλλονται τῷ ἐπάρ-
χῳ· καὶ παραδίδονται Κλαυδίῳ τῷ τριβούνῳ· καὶ ἀρπάζονται
[illegible] καὶ βασανίζονται διαφόρως· εἶτα εἰς βόθρον
ὀρυχθέντος ἐμβάλλονται ἀμφότεροι· καὶ κα-
ταχωσθέντες καὶ καταπατηθέντες, τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ἁγίου προφήτου Ὠσηέ:

Ὁ προφήτης Ὠσηὲ ὑπῆρχε μὲν ἐκ τῆς χώρας Ἰουδαίας· τὸν
δὲ θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς σεβόμενος· καὶ τοῖς τῶν ἐ-
θνῶν θεοῖς μισῶν καὶ ἀποστρεφόμενος· καὶ τὸν νόμον φυ-
λῶν Ἰουδαίων τὰ γράμματα διορθούμενος. ἐδέξατο προ-
φητείας μὲν γὰρ χαρίσματα· καὶ πολλὰ προφητεύ-
σας κατά τε τοῦ Ἰσραὴλ καὶ κατὰ τῶν ἐθνῶν. ἔδωκε ση-
μεῖον· ἥξειν τὸν κύριον ἐπὶ τῆς γῆς, ἀνθρώποις συναναστρεφό-
μενον· καὶ ἔδωκε τέρας ὅτι ὅτε δύνῃ ὁ ἥλιος ἐν Σηλὼμ·
καὶ μερισθήσεται ἡ δρῦς ἡ ἐν Σηλὼμ εἰς δώδεκα μέρη. γε-
νηθήσονται δώδεκα δρύες· τουτέστιν ὅτε σταυρώσου-
σι τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν οἱ Ἰουδαῖοι· καὶ θα-
νὼν δύνῃ. διαμερισθήσονται αἱ δώδεκα φυλαὶ
τοῦ Ἰσραὴλ εἰς πάντα τὰ ἔθνη· καὶ γεννηθήσονται δώ-
δεκα δρύες· ἤτοι οἱ δώδεκα ἀπόστολοι. καὶ διδά-
ξουσι πάντα τὰ ἔθνη πιστεύειν εἰς τὸν Χριστόν· ταῦτα
προφητεύσας, ἐν εἰρήνῃ τελειωθεὶς ἐτάφη:

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ· καὶ τῶν ἀδελφῶν αὐτῶν· Ἀνθίμου· Λεοντίου· καὶ Εὐπρεπίου·

Τρεῖς εἰσὶν αἱ συζυγίαι τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δα-
μιανοῦ· ἀμφοτέρων καὶ τοῖς αὐτοῖς ὀνόμασι καλουμένων·
Καὶ τὴν ἰατρικὴν τέχνην μετερχομένων. καὶ τὴν προ-
σηγορίαν τῆς ἀναργυρίας ἐχόντων· οἱ μὲν γὰρ ἦσαν υἱοὶ
Θεοδότης· γυναικὸς [illegible]· ἐν εἰρήνῃ κοιμηθέντες·
κατετέθησαν ἐν τόπῳ καλουμένῳ Φερεμάν· οἱ δὲ ἐν
τῇ Ῥώμῃ διῆγον. ἔχοντες διδάσκαλον φθονερόν· ὅστις με-
τὰ δόλου ἀναγαγὼν αὐτοὺς εἰς ὄρος ὡς δῆθεν βοτάνας συ-
νάζοντας. λίθοις φονεύει· οἱ δὲ νῦν καὶ ἡ παροῦσα ἄθλη-
σις. ὑπῆρχον ἐκ τῆς χώρας Ἀραβίας· περιερχόμενοι δὲ
κατὰ πᾶσαν πόλιν. ἐθεράπευον ἀναργύρως τοὺς ἀσθε-
νοῦντας· κατὰ δὲ τοὺς χρόνους Διοκλητιανοῦ· παραγε-
νόμενοι ἐν τῇ χώρᾳ τῆς Κιλικίας· καὶ κρατηθέντες. πα-
ρεστάθησαν Λυσίᾳ τῷ δουκί· ὅστις καὶ διαφόρως τιμωρή-
σας αὐτούς· ὕστερον ἀπεκεφάλισεν· σὺν τοῖς ἀκολουθοῦ-
σιν αὐτοῖς τρισὶν ἀδελφοῖς· Ἀνθίμῳ Λεοντίῳ καὶ Εὐπρεπίῳ·

17 Oct. Cosme Damiani, et fratrum Anthimi Leontii et Euprepii mart.

† Μηνὶ τῷ αὐτῷ ιη. μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ.

Λουκᾶς ὁ εὐαγγελιστὴς [illegible] ἀπὸ Ἀντιοχείας τῆς με-
γάλης· ἰατρὸς τὴν τέχνην καὶ ζωγράφος· ἀπελθὼν δὲ
εἰς θήβας τῆς μακεδονίας [illegible] τοῦ [illegible] κατέλε-
ως διὰ τὸν δίκαιον μόνον. ἐνέτυχε τοῖς ἁγίοις ἀποστόλοις παύλῳ·
καὶ ὡς ὑπάρχων εἷς τῶν [illegible] ἀποστόλων. ἠ-
κολούθησεν αὐτῷ· καὶ σὺν αὐτῷ [illegible] τὸν χ(ριστό)ν· καὶ συν-
ήργει εἰς τὴν τοῦ κηρύγματος καὶ τοῦ εὐαγγελίου διακο-
νίαν προθύμως [illegible] πρότερον τὸ κα-
τ' αὐτὸν ἅγιον εὐαγγέλιον πρὸς θεόφιλον τινὰ ἡγεμόνα πισ-
τεύσαντα εἰς τὸν χ(ριστό)ν. ὑπαγορεύσαντος αὐτῷ τοῦ ἁγίου πέ-
τρου τοῦ ἀποστόλου. [illegible] ἐξέθηκε [illegible] πράξεις
τῶν ἀποστόλων. [illegible] φίλον· καὶ ταῦτα
πράξας [illegible] θεῷ [illegible]
δε ἱερὸν καὶ τίμιον αὐτοῦ λείψανον. ἐτάφη μὲν πρότερον
ἐν θήβαις· ὕστερον δὲ ἀνακομισθὲν ἀπὸ θηβῶν ἐν κων-
σταντινουπόλει. κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων.

✝ Μηνὶ τῷ αὐτῷ ιθ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαδὼθ καὶ τῶν σὺν αὐτῷ ἑκατὸν εἴκοσι ἁγίων·:

Σαδὼθ ὁ μάρτυς, ὑπῆρχεν ἐπὶ Σαβωρίου βασιλέως Περσῶν·
διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν κρατηθεὶς, καὶ προσαχθεὶς αὐτῷ·
καὶ μὴ πεισθεὶς λατρεῦσαι τῷ πυρί· τύπτεται ἀνηλεῶς· καὶ
χαράσσεται τὸ δέρμα ἀπὸ τοῦ μετώπου μέχρι τῶν ποδῶν·
καὶ ἐκδέρεται ἀπὸ τοῦ δέρματος αὐτοῦ λῶρος δακτύλου τὸ
πλάτος· καὶ πάλιν τύπτεται μετὰ βοείων λωρίων· καὶ ἐπὶ
ἀκανθῶν καὶ ξύλων καὶ λίθων ὀξέων σύρεται γυμνός· εἶτα
τέμνεται τοῖς δακτύλοις κατὰ ἁρμόν· καὶ ἐμβληθεὶς εἰς
κοχλίαν πυρακίου, κατασφίγγεται· καὶ μετὰ ταῦτα σουβλί-
οις πεπυρωμένοις, τὸ ὑπολειφθὲν σῶμα κατακεντεῖται·
καὶ κρεμασθεὶς κατὰ κεφαλῆς, τὴν γλῶσσαν ἐκτέμνε-
ται· καὶ ἰδόντες τὴν καρτερίαν αὐτοῦ χίλιοι διακόσιοι ἑβδο-
μήκοντα ἄνδρες· καὶ ἐννοήσαντες ὅτι εἰ μὴ εἶχε μεγάλας
ἐλπίδας οὐκ ἂν τοιαῦτα ὑπέμενεν, ἐπίστευσαν εἰς τὸν Χριστόν.
καὶ παρεδόθησαν τῇ φυλακῇ· αὐτὸς δὲ εὐχαριστῶν τῷ Θεῷ τὴν
κεφαλὴν ἀπετμήθη, σὺν ἑτέροις ἁγίοις ἑκατὸν εἴκοσι·:

19 Oct. Sadoc et socios 120 Mart.

ΚΓ

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου.

Οὗτος προεχειρίσθη ἐπίσκοπος Ἰκονίου. ὑπὸ ἁγίων ἀγγέλων
οὐκ ἀνθρωπίνης χειρός· συμφωνιστὴς δὲ γενόμενος τῶν ἁγίων πα-
τέρων βασιλείου τοῦ μεγάλου· γρηγορίου τοῦ θεολόγου·
καὶ γρηγορίου τοῦ νύσσης· κατὰ τῶν αἱρετικῶν παρετάξατο·
ἀρείου· εὐνομίου. καὶ τῶν ὁμοίων· παρετάθη δὲ ἡ ζωὴ
αὐτοῦ. μέχρι θεοδοσίου τοῦ μεγάλου· ὃν καὶ ἠξίωσε· κωλῦ-
σαι τῶν ἀρειανῶν τὰς ἐν ταῖς πόλεσι συνάξεις· καὶ μὴ δὲ
νομίσαντος τοῦτο τοῦ βασιλέως διὰ τὴν ταραχήν.
τότε μὲν ἡσύχασεν· ὕστερον δὲ κατά τινα χρείαν εἰσελθὼν
πρὸς τὸν βασιλέα· καὶ τὸν υἱὸν αὐτοῦ ἀρκάδιον ἰδὼν τῷ πατρὶ συγ-
καθήμενον. τὸν μὲν θεοδόσιον προσεκύνησε· τὸν δὲ υἱὸν πα-
ρῆλθε· τοῦ δὲ βασιλέως εἰπόντος· τίμα τὸν υἱόν μου· παρε-
δραμες· ἔφη· γνῶθι βασιλεῦ· ὅτι ὥσπερ σὺ οὐκ ἠγάπησας
τοῦ υἱοῦ παραπεμπομένου. οὕτω καὶ ὁ θεὸς καὶ πατὴρ. τοῦ υἱοῦ καὶ
λόγου ὑβριζομένου· ὅθεν πεισθεὶς ὁ βασιλεύς· ἐποίησε τὸ τοῦ
ἁγίου θέλημα· οὗτος δὲ ζήσας εὐσεβῶς· πρὸς κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἰωήλ.

[Ο]ὗτος ὑπῆρχεν ἐκ τῆς Ἰουδαίας χώρας· ποιῶν δὲ τὸ θέλημα κυρίου, ἔλαβε προφητείας χάρισμα· προεφήτευσε δὲ καὶ ἄλλα μὲν πολλά· πλείονα δὲ περὶ τοῦ Χριστοῦ, ὅτι μέλλει γεννηθῆναι ἐκ παρθένου· ἔτι δὲ καὶ περὶ τοῦ ἁγίου πνεύματος, ὃ ἔλαβον οἱ ἅγιοι δώδεκα ἀπόστολοι ἐν τῇ μεγάλῃ ἑορτῇ τῆς πεντηκοστῆς, βοῶν· ὅτι ταῦτα λέγει κύριος· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν· ὃ δὴ καὶ γέγονε· καθεζομένων γὰρ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ὑπερῴῳ οἰκήματι ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς, ὥρᾳ τρίτῃ τῆς ἡμέρας, κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει πυρίνων γλωσσῶν· καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. καὶ δέδωκεν αὐτοῖς χαρίσματα διάφορα καὶ προφητείας· καὶ οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ τοῖς μετέπειτα· ταῦτα δὲ προφητεύσας, ἐν εἰρήνῃ ἐκοιμήθη καὶ ἐτάφη ἐν τῇ ἰδίᾳ γῇ.

19 Oct. Joel

✠ Μηνὶ τῷ αὐτῷ κ΄. Μνήμη τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου.

Κορνήλιος ὁ ἑκατόνταρχος, ὑπῆρχεν ἀπὸ Καισαρείας τῆς Παλαιστίνης· ἑκατὸν στρατιωτῶν ἄρχων· ἐπὶ τῶν χρόνων τῶν ἁγίων ἀποστόλων· ὅστις καὶ πρῶτος ἐξ ἐθνῶν ἐπίστευσε τῷ Χριστῷ· ἰδὼν γὰρ ὁ Θεὸς τὰς ἐλεημοσύνας αὐτοῦ ἃς ἐποίει εἰς τοὺς πτωχούς, προσεδέξατο αὐτόν· καὶ δι' ἀγγέλου παρεσκεύασεν αὐτὸν μεταστείλασθαι τὸν μαθητὴν τοῦ Χριστοῦ, τὸν ἅγιον Πέτρον· εἶτα χειροτονεῖται ἐπίσκοπος Σκαμάνδρου· ἐν ᾗ καὶ κηρύττων τὸν Χριστὸν ἐκρατήθη παρὰ Δημητρίου τοῦ ἄρχοντος· καὶ κατηναγκάσθη εἰσελθεῖν εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ θῦσαι ἅμα τῷ λαῷ καὶ τῇ γυναικὶ αὐτοῦ καὶ τῷ υἱῷ· ἀπελθόντος δὲ καὶ προσευξαμένου πρὸς τὸν Θεόν, γέγονε σεισμὸς καὶ ἔπεσον τὰ εἴδωλα καὶ ὁ ναός· καὶ συνεκάλυψε τὸν υἱὸν τοῦ ἄρχοντος καὶ τὴν γυναῖκα· καὶ εὑρέθησαν ζῶντες κάτωθεν· ὅτι μέγας ὁ Θεὸς Κορνηλίου· παρεκάλεσε δὲ αὐτὸν ὁ ἄρχων καὶ προσηύξατο καὶ ἐξῆλθον· καὶ ἐπίστευσεν ὅ τε ἄρχων καὶ ἡ γυνὴ αὐτοῦ καὶ ὁ υἱὸς καὶ ἀνδρῶν σοζ΄· καὶ οὕτως ἐν εἰρήνῃ ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου τοῦ θαυματουργοῦ.

Ἀρτέμιος ὁ πολύαθλος, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰου-
λιανοῦ τοῦ παραβάτου, δοὺξ Ἀλεξανδρείας τῆς Αἰγύπτου,
ἐν τοῖς πατρικίοις διαπρέψας ἀπὸ Κωνσταντίνου τοῦ
μεγάλου βασιλέως. ἀκούσας δὲ ὅτι Ἰουλιανὸς ἐν Ἀντιο-
χείᾳ τιμωρεῖ τοὺς χριστιανούς, παρεγένετο πρὸς αὐτόν,
τὴν παρανομίαν αὐτοῦ διελέγχων. τυφθεὶς οὖν παρ' αὐτοῦ
νεύροις καὶ τριβόλοις ὀξέσι τὰς ψύας ξεσθεὶς καὶ ὀβελίσκοις
τὰς πλευρὰς καὶ τὰ μετάφρενα κατακεντῆται· καὶ ὑπὸ
λιθοξόων πέτρας διακοπείσης, μέσον ἐναπάλλεται· καὶ
τῶν δύο μερῶν συναρμοσθέντων, συγκρατηθεὶς ἔνδον, τὴν
ἀφόρητον ὑπέστη τιμωρίαν· ἐκθλιβέντων αὐτοῦ τῶν ὀ-
φθαλμῶν, καὶ τῶν ἐντέρων κάτω συμβλαβέντων. ἐπεὶ
δὲ μετὰ τοσαύτας τιμωρίας οὐκ ἐπείσθη τοῖς λόγοις τοῦ
τυράννου, τὴν διὰ ξίφους δέχεται τελευτήν. τὸ δὲ ἅγιον αὐ-
τοῦ λείψανον ἀναβληθὲν ἐμίσθη καὶ κατετέθη ἐν Κωνσταντινουπό-
λει, παρέχον ἰάματα τοῖς πίστει αὐτῷ προσερχομένοις.

20 Oct. Artemij miracula circiter

Μηνὶ τῷ αὐτῷ κα΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Δασίου, Γαΐου καὶ Ζωτικοῦ.

Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον μὲν ἐν Νικομηδείᾳ τῇ πόλει· δημοτελοῦς δὲ τοῖς εἰδώλοις ἑορτῆς τελουμένης, παρρησιασάμενοι, τὰ ἐπὶ τῶν κωμῶν κείμενα κατέρριψαν· καὶ συνέτριψαν τε· ὅσα συνήγαγον παρ' αὐτῶν ἀφρόνων ἀσεβῶν ἐλογίσθησαν· ὅθεν κρατηθέντες παρέστησαν τῷ δικάζοντι· ὁ δὲ πᾶσαν πεῖραν αὐτοῖς βασάνων προσήγαγε· καὶ γὰρ ἐκτείνας αὐτοὺς ἀνηλεῶς, καὶ ἐπὶ ξύλων ἐκκρεμάσας, καὶ πληγὰς ἐμποιήσας· καὶ τὰς πλευρὰς αὐτῶν ταῖς μάστιξι διέρρηξε· καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας αὐτῶν κατέξανε· καὶ ἐπειδὴ ὥρα καταφρονοῦντας μὲν τῶν βασάνων, ἐλέγχοντας δὲ τὴν τῶν εἰδώλων ματαιότητα, μεγάλῃ δὲ τῇ φωνῇ κηρύττοντας τὸν Χριστὸν Θεὸν μόνον εἶναι ἀληθινόν, λίθοις μὲν μεγάλοις τοῖς τραχήλοις αὐτῶν περιθεὶς εἰς τὸν βυθὸν κατηκόντισεν· ἔνθα καὶ τὸ τέλος τῆς μαρτυρίας ἐδέξαντο εὐχαριστοῦντες Χριστῷ τῷ βασιλεῖ τῶν αἰώνων μέχρι θανάτου, ὅτι ἠξιώθησαν ὑπὲρ αὐτοῦ ἀποθανεῖν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος πρεσβυτέρου γενομένου καὶ ἀναχωρητοῦ τῆς ἐρήμου·

Ὁ ὅσιος ἱλαρίων. ὑπῆρχεν ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ μεγάλου. ἐκ τῆς πόλεως γάζης τῆς παλαιστίνης· ἐπιθυμίᾳ δὲ τοῦ μαθεῖν γράμματα. παραγενόμενος εἰς ἀλεξάνδρειαν τῆς αἰγύπτου· καὶ τῇ τοῦ θεοῦ χάριτι. ἀμφοτέρων ἔλαβε τὴν γνῶσιν· τῶν τε γραμμάτων. καὶ τῶν εἰς τὴν χριστοῦ πίστιν ἁρμοζόντων· εἶτα βαπτισθεὶς καὶ ἀκούσας περὶ τῆς πολιτείας τοῦ μεγάλου ἀντωνίου. ἀπῆλθε πρὸς αὐτὸν καὶ γέγονεν αὐτοῦ μαθητής· μανθάνων ἐπὶ τίνα χρὴ τὰ τῆς ἀρετῆς ἔργα· ὑποστρέψας δὲ ἐν τῇ πατρίδι. καὶ τοὺς γονεῖς αὐτοῦ εὑρὼν τελευτήσαντας. τὸν πλοῦτον αὐτοῦ πάντα δίδωσι τοῖς πτωχοῖς· καὶ φορέσας ἱμάτιον τρύχινον. καὶ δέρμα προβάτου. καταλαμβάνει τὴν ἔρημον· καὶ καλῶς μονάσας. ἐδέξατο χάριν θαυμάτων· θέλων δὲ φεύγειν τοὺς ἀνθρώπους διὰ τὴν ἡσυχίαν. ἀπήρχετο ἀπὸ τόπου εἰς τόπον ἡσυχώτερον· ζήσας δὲ ἔτη ὀγδοήκοντα. καὶ πληρώσας ἐν τῇ μοναδικῇ πολιτείᾳ ἔτη

21 Oct. Hilarionis presbyteri et Anachoritae [illegible]

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ· ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΙΣΑΠΟ-
ΣΤΟΛΟΥ ΠΡΣ ΗΜΩΝ ΑΒΕΡΚΙΟΥ ΕΠΙΣΚΟΠ ΙΕΡΑΠΟΛΕΩΣ·

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀβέρκιος, ἦν ἐπὶ τῆς βασιλείας Μάρκου·
Ἀντωνίνου· ὃς γενόμενος Ἱεραπόλεως παρὰ τῶν ἁγίων ἀποστό-
λων· ἦν δὲ καὶ θαυματουργὸς περιβόητος· θέλων δὲ αὐτὸν
ὁ δαίμων πειράσαι, εἰσῆλθεν εἰς τὴν τοῦ βασιλέως θυγατέ-
ρα Λουκίλλαν καὶ ἐζήτει τὸν ἅγιον, ἵνα θεραπεύσῃ αὐτήν· διὸ καὶ
διὰ γραμμάτων βασιλικῶν πρὸς τὴν Ῥώμην ὡρμήθη·
προσέταξε δὲ τῷ ὑπουργῷ αὐτοῦ βαλεῖν εἰς ἀσκὸν ἕνα· ὄξος καὶ
γάρον καὶ ἔλαιον· καὶ ὅτε μὲν αὐτὸς ἐζήτει ἀπ᾽ αὐτῶν τι, ἐζήτει καθὲν. ἐ-
ξήρχετο κεχωρισμένον ἐν ἕκαστον· ὅτε δὲ ὁ ὑπουργὸς αὐτοῦ ἠ-
βουλήθη, ἀθρόως ἐξήρχοντο μεμιγμένα· κατελθὼν
δὲ εἰς Ῥώμην, τὴν μὲν θυγατέρα τοῦ βασιλέως ἰάσατο· τῷ
δαίμονι δὲ προσέταξε τὸν πλησίον κείμενον βωμὸν λίθον
μέγαν ὄντα, ἆραι εἰς Ἱεράπολιν· ἐπεὶ οὖν τοῦτο μὲν παρεσκεύ-
ασας με κοπιάσαι εἰς Ῥώμην· σὺ δὲ προστάσσω σοι ἆραι
τὸν λίθον καὶ θεῖναι ἐπάνω τοῦ τάφου μου· ὃ καὶ γέγονε· ζή-
σας δὲ ἐν ὁσιότητι τὸ λοιπὸν τῆς ζωῆς, πρὸς Κύριον ἐξεδήμησε·

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀλεξάνδρου καὶ τῶν σὺν αὐτῷ Ἡρακλείου, Ἄννης, Θεοδότης καὶ Γλυκερίας.

Ἀλέξανδρος ὁ ἱερομάρτυς ἐπίσκοπος ὢν καὶ παρρησίᾳ τὸν Χριστὸν
κηρύττων καὶ τῇ διδασκαλίᾳ αὐτοῦ πολλοὺς ἔκ τε τῶν Ἰου-
δαίων καὶ τῶν Ἑλλήνων πρὸς τὴν πίστιν ἐπιστρέφων καὶ βα-
πτίζων, ἐκρατήθη παρὰ τοῦ τῆς χώρας ἄρχοντος· καὶ πολ-
λὰ τιμωρηθεὶς καὶ ξεσθεὶς καὶ καταναγκασθεὶς θῦσαι τοῖς
εἰδώλοις, οὐκ ἐπείσθη. ἰδὼν δὲ τὴν μαρτυρίαν αὐτοῦ στρατι-
ώτης τις Ἡράκλειος ὄνομα, ἐπίστευσε τῷ Χριστῷ· καὶ πλεῖστα
τιμωρηθεὶς καὶ αὐτὸς, ἀπετμήθη τὴν κεφαλήν. θαύματα
ποιήσαντος δὲ μετὰ τοῦτο τοῦ ἁγίου Ἀλεξάνδρου· καὶ γὰρ ἰάθη
τὰς πληγὰς τῇ τοῦ Κυρίου ἐπισκέψει· ἐπιστεύσαντο πρὸς τὴν
τῶν Χριστιανῶν πίστιν καὶ γυναῖκες τρεῖς, Ἄνναν, Θεοδό-
την καὶ Γλυκερίαν· αἳ τιμωρηθεῖσαι ἔμπροσθεν τοῦ ἄρχον-
τος, ἤλεγξαν αὐτὸν καὶ τὴν τῶν εἰδώλων θρησκείαν, καὶ δὴ
ἀπεκάλεσαν· τότε θυμωθεὶς ὁ ἄρχων, πρῶτον μὲν ἀποκε-
φαλισθῆναι τὸν ἅγιον Ἀλέξανδρον ἐκέλευσεν, ἔπειτα βασανίσας τὰς
ἁγίας, ἀπέτεμε καὶ αὐτῶν τὰς κεφαλάς· καὶ οὕτως ἐτελειώθησαν.

Μηνὶ τῷ αὐτῷ κγ'. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου ἰακώβου ἀδελφοῦ τοῦ κυ.

Ὁ ἅγιος ἰάκωβος πρῶτος ἐπίσκοπος ἐν ἱεροσολύμοις ἐγένετο παρ' αὐτοῦ τοῦ κυ χειροτονηθείς· καὶ πρῶτος τὴν θείαν λειτουργίαν ἔγραψε παρ' αὐτοῦ χυ αὐτὴν διδαχθείς· ἀλλ' ὕστερον συντομωτέραν αὐτὴν ἐποίησαν ὁ μέγας βασίλειος εἶτα ὁ χρυσόστομος διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. πολλοὺς δὲ διδάσκων ὁ ἅγιος ἰάκωβος ἐκ τῶν ἰουδαίων καὶ ἐκ τῶν ἑλλήνων καὶ ἐπιστρέφων αὐτοὺς ἐπὶ τὸν κν. εἰς ὀργὴν ἐκίνησε τοὺς ἰουδαίους· συναχθέντες οὖν καὶ κρατήσαντες αὐτὸν ἔρριψαν ἀπὸ τοῦ ἄκρου τοῦ ἱεροῦ καὶ ἀπέκτειναν. περὶ δὲ τοῦ λέγεσθαι ἀδελφόθεος φέρεται λόγος τοιοῦτος ἐκ παραδόσεως· τοῦ μνήστορος ἰωσὴφ μερίζοντος τὴν γῆν αὐτοῦ τοῖς υἱοῖς αὐτοῦ τοῖς ἐκ τῆς προτέρας γυναικός· καὶ βουλομένου μερίδα ποιήσασθαι καὶ τῷ τῆς ἁγίας παρθένου υἱῷ καὶ θεῷ. οἱ μὲν ἄλλοι οὐ κατεδέξαντο· ὁ δὲ ἰάκωβος παραλαβὼν αὐτὸν εἰς τὴν αὐτοῦ μερίδα συγκληρονόμον εἶχεν· ὅθεν οὐ μόνον ἀδελφόθεος ἀλλὰ καὶ δίκαιος.

52

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοδότης καὶ Σωκράτους πρεσβυτέρου.

Ἡ ἁγία Θεοδότη, τὴν ἀρχὴν ἐπὶ Ἀλεξάνδρου τοῦ βασιλέως ἐγε-
νομένη, γονέων ὑπάρχουσα· οὖσα δὲ ἐκ τῆς χώρας τοῦ Πόντου·
ἐν ἀσκητηρίῳ δέ τινι ἀπελθοῦσα καὶ ἡσυχάζουσα, διε-
γνώσθη· καὶ κρατηθεῖσα παρὰ τοῦ ἄρχοντος διὰ τὸν Χριστόν,
ἐκ δένδρου κρεμασθεῖσα ξέεται· καὶ εἰς φοῦρνον ἐκπυρω-
θέντα ἐμβάλλεται· τῇ τοῦ Χριστοῦ δὲ χάριτι τούτου ῥυσθεῖσα, ἄγεται
παρὰ τοῦ ἄρχοντος ἐπὶ τὸ Βυζάντιον· εἶτα ἐν ἡμέραις ἐν
αἷς ὁ πρεσβύτερος Σωκράτης, τῶν Ἑλλήνων πάνδημον
ἑορτὴν τελούντων τοῖς δαίμοσι καὶ προσκυνούντων
τοῖς εἰδώλοις, ἐμφανὴς ὢν καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμο-
λογῶν, ζήλου πλησθείς, καὶ τὸν βωμὸν καταστρέψας
τῶν θεῶν, ἐτμήθη τὴν κεφαλήν· καὶ οὕτω παρέ-
δωκε τὸ πνεῦμα· ἡ δὲ ἁγία Θεοδότη ἀναγκασθεῖσα θῦσαι
τοῖς εἰδώλοις καὶ μὴ πεισθεῖσα, ἐνεβλήθη εἰς τήγανον
μεστὸν καχλάζοντος ἐλαίου· καὶ τῇ τοῦ Θεοῦ χάριτι τοῦ τηγά-
νου ἐξελθοῦσα ἀβλαβής, διὰ ξίφους ἐτελειώθη καὶ αὐτή.

23 Oct. Teodote et Socratis presbiteri martirum

132

ια ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, Η ΑΝΑΜΝΗΣΙΣ ΤΗΣ ΦΑΝΕΡΩΣΕΩΣ ΤΩΝ ΑΓΙΩΝ ΕΠΤΑ ΠΑΙΔΩΝ ΤΩΝ ΕΝ ΕΦΕΣΩ:

Οὗτοι οἱ ἅγιοι μαξιμιλλιανὸς· ἰάμβλιχος· μαρτινιανὸς· διονύσιος· ἰωάννης· κωνσταντῖνος καὶ ἀντωνῖνος· ἐπὶ χρόνων δεκίου τοῦ βασιλέως ὄντες ἐν ἐφέσῳ· διὰ δὲ τὸν χ̄ν μερατιθέντες· προσηνέχθησαν τῷ βασιλεῖ· καὶ καιρὸν αἰτήσαντες τοῦ σκέψασθαι· ἔτυχον τούτου· εἶτα φυγόντες ἀνῆλθον ἐν ὄρει τινὶ καὶ εἰσῆλθον εἰς σπήλαιον· καὶ ἐν αὐτῷ ἐκοιμήθησαν· εἶτα ἀνεφράγη τοῦ σπηλαίου ἡ εἴσοδος· καὶ τριακοσίων οβ' ἐτῶν παρελθόντων· ἐπὶ τῆς βασιλείας θεοδοσίου τοῦ μικροῦ δόγμα ἐκινήθη παρὰ τῶν αἱρετικῶν λεγόντων μὴ εἶναι ἀνάστασιν· καὶ τοῦ βασιλέως περὶ ταύτης φροντίζοντος· θέλων ὁ θεὸς πληροφορῆσαι πάντας ὅτι ἔστιν ἀνάστασις· ἐνέδωκεν ἀνοιχθῆναι τὸ σπήλαιον καὶ ἀναστῆναι ζῶντας· ἐξ ὧν ἰάμβλιχος λαβὼν νομίσματα ἐκ τῶν ἐπὶ τοῦ δεκίου· καὶ κατελθὼν ἐν τῇ πόλει ἀγοράσαι τροφὴν ὡς ἤδη χθὲς κοιμηθείς· ἐγνώσθη· καὶ ἀχθεὶς πρὸς τὸν ἐπίσκοπον· ἀνεδίδαξε πᾶσαν τὴν ἀλήθειαν· ὧν ὁμοῦ καὶ μαρτυρεῖ τὴν ἀνάστασιν· καὶ πάλιν θανόντες ἐτέθησαν ἐν τῷ αὐτῷ:

23 D.. Manifestatio sanctoz septem pueroz in Epheso

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
Ἰγνατίου πατριάρχου Κωνσταντινουπόλεως·

τοῦ σατύρου

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰγνάτιος, γέγονε μὲν υἱὸς Μιχαὴλ βασιλέως· ἀδελφὸς δὲ Θεοφίλου καὶ ἔγγονος Νικηφόρου τῶν βασιλέων· εὐνοῦχος δὲ γενόμενος· εἶτα καὶ μοναχὸς γέγονε καὶ ἡγούμενος τῆς μονῆς τοῦ ἀρχαγγέλου τοῦ τότε μὲν ἐπιλεγομένου ἀνατέλλοντος· νῦν δὲ Σατύρου· εἶτα προεχειρίσθη καὶ πατριάρχης Κωνσταντινουπόλεως· καὶ ἐκράτησεν ἔτη ἕνδεκα μῆνας πέντε· καὶ μετὰ ταῦτα ἐξεβλήθη ὑπὸ Μιχαὴλ βασιλέως· ἀντ' αὐτοῦ πατριάρχην ποιήσαντος Φώτιον γενόμενον πρότερον μοναχόν· εἶτα ἐξεβλήθη καὶ αὐτὸς ὑπὸ Βασιλείου βασιλέως· καὶ ἀπαρτὶ κατέστη Ἰγνάτιος πάλιν· καὶ ἐπεσκόπησεν ἔτη ἕνδεκα· καὶ πάλιν ἐξεβλήθη. καὶ ἐγένετο πατριάρχης Στέφανος ὁ ἐν ἁγίοις υἱὸς Βασιλείου βασιλέως· ὁ δὲ ἅγιος Ἰγνάτιος ἀπελθὼν ἐν τῷ τοῦ Σατύρου μοναστηρίῳ ἐκεῖ καλῶς βιώσας ἐν εἰρήνῃ ἐτελειώθη:

23 Oct. Ignatii patriarchae Constantinopolitani

139

Μηνὶ τῷ αὐτῷ κδ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρέθα καὶ τῆς συνοδίας αὐτοῦ.

Οὗτος ἦν πρόεδρος τῆς πόλεως Νεγρᾶς ἐν Αἰθιοπίᾳ· ἐπὶ τῆς βασιλείας Ἰουστίνου· τῆς μὲν Αἰθιοπίας βασιλεύοντος Ἐλεσβαὰ τοῦ χριστιανικωτάτου· τῶν δὲ Ὁμηριτῶν, Ἑβραίου τινός. Ἡ δὲ τοιαύτη χώρα, παρὰ μὲν τῇ θείᾳ γραφῇ, λέγεται Σαβά· παρὰ δὲ Ἕλλησιν, Εὐδαίμων Ἀραβία· τοῦ δὲ Ἐλεσβαὰ τὸν Ἑβραῖον ὑποτάξαντος· καὶ φύλακας ἐν τῇ πόλει αὐτοῦ καταστήσαντος, ἐπαναστὰς ὁ Ἑβραῖος ἀνεῖλεν αὐτούς· καὶ πρὸς τὴν Νεγρὰν πόλιν ἐξέδραμεν· ἥν τινα ἐπολιόρκησεν. οὐ δυνάμει ἀλλ' ἐπιορκίαις· ὅθεν τοὺς ἐν αὐτῇ χριστιανοὺς πάντας ἄνδρας τε καὶ γυναῖκας ἐφόνευσεν· ἐν οἷς ὁ ἅγιος Ἀρέθας γέρων ὢν καὶ μὴ δυνάμενος περιπατῆσαι ἔκειτο· ἐξ οὗ ὅτε ἦγον αὐτὸν ἀποκεφαλίσαι, ὑπὸ ἑτέρων ἐβαστάζετο· ἀχθεὶς οὖν ἀπεκεφαλίσθη χάριτι τοῦ θεοῦ, μετὰ τῶν λοιπῶν χριστιανῶν τῶν ἐν τῇ πόλει Νεγρᾷ· καὶ οὕτως ἐτελειώθησαν.

τοῦ Γεωργίου

24 Oct. Arethas et socios martyrum

✠ τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
Πρόκλου πατριάρχου Κωνσταντινουπόλεως·

ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Πρόκλος· ὁ μαθητὴς ὢν καὶ σοφὸς καὶ
ἐνάρετος, χειροτονήθη παρὰ τοῦ ἁγίου Σισιννίου πα-
τριάρχου Κωνσταντινουπόλεως ἐπίσκοπος Κυζίκου·
ἀπελαθεὶς δὲ καὶ μὴ δεχθεὶς παρὰ τῶν ἐκεῖ κληρικῶν
αἱρετικῶν ὄντων, ὑπέστρεψεν ἐν Κωνσταντινουπό-
λει, τὸν μεταξὺ σχολάζων χρόνον. καὶ προσέχων ἑαυ-
τῷ τε καὶ τῇ ἀναγνώσει. τελευτήσαντος δὲ Μαξι-
μιανοῦ τοῦ πατριάρχου ἐπὶ τῷ λειψάνῳ αὐτοῦ κει-
μένου ἐν τῷ ἱερατείῳ τῆς ἁγιωτάτης τοῦ θεοῦ με-
γάλης ἐκκλησίας, προχειρίζεται πατριάρχης Κων-
σταντινουπόλεως. καὶ ἐνθρονίζεται κατ' αὐτὴν
τὴν μεγάλην ἑβδομάδα ἐν τῇ ἁγίᾳ πέμπτῃ τοῦ σω-
τηρίου πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ καλῶς πολι-
τευσάμενος καὶ μετὰ τὴν χειροτονίαν. καὶ πολλοὺς διὰ
τῆς διδασκαλίας αὐτοῦ ὠφελήσας, ἐπεσκόπησεν ἔτη
δώδεκα καὶ μῆνας τρεῖς. καὶ τελειωθεὶς ἀνεπαύσατο·

24 Oct. Procli patriarchae Constantinop. ...

μηνὶ τῷ αὐτῷ κε΄. ἄθλησις τῶν ἁγίων μαρτύρων καὶ νοταρίων. Μαρκιανοῦ καὶ Μαρτυρίου:

Οὗτοι μαθηταὶ καὶ νοτάριοι ὑπῆρχον τοῦ ἁγίου Παύλου
τοῦ ὁμολογητοῦ· πατριάρχου γενομένου Κωνσταντινου-
πόλεως, ἐπὶ τῆς βασιλείας Κωνσταντίου· ἐπειδὴ
δὲ ὁ ἅγιος Παῦλος παρ' αὐτοῦ τοῦ βασιλέως διὰ τὸ μὴ
καταδέξασθαι τὴν τῶν Ἀρειανῶν αἵρεσιν μηδὲ κοινωνίαν·
ἀλλὰ τούτοις ἀποκηρύττειν· ὑπερόριος ἐν Ἀρμενίᾳ
γενόμενος· ἐνταῦθα καὶ τὸ μακάριον ἐδέξατο τέλος· ἀπο-
πνιγεὶς παρὰ τῶν Ἀρειανῶν διὰ τὴν ὀρθόδοξον ὁμο-
λογίαν· καὶ οὗτοι τὰ ὅμοια φρονοῦντες τῷ διδασκά-
λῳ τοῖς Ἀρειανοῖς ἤλεγχον. ἐκρατήθησαν παρὰ Φιλίπ-
που τοῦ ἐπάρχου Ἀρειανοῦ ὄντος· καὶ πολλὰ τιμωρη-
θέντες, ἀπεκλείσθησαν εἰς σκοτεινὴν φυλακήν· λιμῷ
καὶ σκότῳ βασανιζόμενοι· ἐκβληθέντες δὲ τῆς φυλακῆς,
καὶ ἀναγκαζόμενοι συμβληθῆναι εἰς τὴν τῶν Ἀρειανῶν αἵρεσιν καὶ
μὴ πεισθέντες, ἀπάγονται ἐν τῷ ἀέρι τοῦ τείχους καὶ σφά-
ζονται μετὰ μαχαιρῶν· ἔνθα καὶ τὰ λείψανα αὐτῶν κατετέθησαν:

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Οὐάρου καὶ τῶν σὺν αὐτῷ ἑπτὰ ἁγίων·

Ὁ ἅγιος μάρτυς Οὔαρος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασι-
λέως· στρατευόμενος ἐν Αἰγύπτῳ· γενομένοις δ' ἐπισήμου
ὤν· κρατηθέντων δὲ τινῶν ὁσίων ἀνδρῶν τῶν
πρότερον μὲν ἐν ὄρεσι καὶ σπηλαίοις ἐπὶ χρόνοις πολλοῖς
διατριψάντων· εἶτα τῇ φυλακῇ παραδοθέντων διὰ τὸν
Χν. εἰσήρχετο ὁ ἅγιος Οὔαρος. λύων αὐτοὺς τῶν ἁλύσεων
καὶ τούτων ἐπιμελούμενος· οἵτινες καὶ ἔλεγον αὐτῷ παρ-
ρησιάσασθαι. καὶ μὴ κεκρυμμένως σέβεσθαι τὸν Χν. ἐπεὶ
οὖν εἷς τῶν ἑπτὰ ἐν αὐτῷ τῷ δεσμωτηρίῳ ἀπέθανεν. ἐνε-
γράφη ἐν αὐτῷ ἀντ' ἐκείνου ὁ ἅγιος Οὔαρος· καὶ διαγνωσθέν-
τος τούτου τῷ ἡγεμόνι. ἤχθη ἐν μέσῳ πάντων αὐτὸς μετὰ τῶν
λοιπῶν· καὶ φανερῶς τὸν Χν ὁμολογήσας· τύπτεται ῥάβ-
δοις· καὶ κρεμασθεὶς ξέεται τὰς πλευράς· ὁμοίως
καὶ οἱ λοιποὶ οἱ ἅγιοι· σὺν αὐτῷ κρεμασθέντες ξέονται
μετὰ σιδηρῶν ὀνύχων· καὶ οὕτω ξεόμενοι καὶ ῥαβδιζόμενοι τυ-
πτόμενοι ἐπὶ πολλαῖς ὥραις· παρέδωκαν τὰ πνεύματα αὐτῶν μετὰ κῶ·

Μηνὶ τῷ αὐτῷ κϛ΄. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου.

Οὗτος ὁ ἔνδοξος τοῦ Χριστοῦ μάρτυς Δημήτριος, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ· ἐκ τῆς Θεσσαλονικέων πόλεως· εὐγενὴς ὤν. καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως. ἀπελθὼν δὲ ὁ Μαξιμιανὸς ἐν τῇ Θεσσαλονίκῃ· καὶ μαθὼν περὶ τοῦ ἁγίου Δημητρίου ὅτι Χριστιανός ἐστιν. ἐκράτησεν αὐτὸν καὶ κατασφαλίσας ἀπέκλεισεν· εἶχε δὲ τότε ὁ Μαξιμιανὸς μονομάχον τινὰ ὀνόματι Λυαῖον· καὶ ἐκαυχᾶτο ἐπ' αὐτῷ λέγων. ὅτι οὐ μὴ εὑρεθῇ τις νικῆσαι τὸν Λυαῖον· καὶ μαθὼν τοῦτο νεανίσκος τις ὀνόματι Νέστωρ. ἐζήλωσεν· καὶ ἀπελθὼν ἐν τῇ φυλακῇ πρὸς τὸν ἅγιον Δημήτριον. ἔλαβε παρ' αὐτοῦ εὐχήν· καὶ νικήσας τὸν Λυαῖον. ἐφόνευσεν αὐτόν· ἐλυπήθη δὲ ὁ Μαξιμιανὸς διὰ τὸν θάνατον τοῦ μονομάχου· εἶτα μαθὼν ὅτι αἴτιος τοῦ θανάτου αὐτοῦ ὁ Δημήτριος ἐγένετο. ἀποστείλας ἐν τῇ φυλακῇ ἐφόνευσεν αὐτόν· τῶν στρατιωτῶν ἀπελθόντων ἐν τῇ φυλακῇ μετὰ τῶν κονταρίων καὶ κατακεντησάντων αὐτόν· ἔνθα κείμενος βρύει ἰάματα.

26 Oct Demetrii Martyris magni Thessalonicei

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων
Μάρκου· Σωτηρίχου. καὶ Οὐαλεντίνης·

Οὗτοι οἱ ἅγιοι μάρτυρες· ἐν πάσῃ εὐσεβείᾳ ζῶντες πρότερον,
καὶ τὸν Χριστὸν τοῖς πᾶσι κηρύττοντες· καὶ πολλοὺς τῶν ἀπίστ-
ων· προσκυνεῖν ἐπιστρέφοντες καὶ ἀναπείθοντες εἰς τὸ ὄνο-
μα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐθηρεύθησαν
παρὰ τῶν δυσσεβῶν ἑλλήνων· καὶ πολλὰ τιμωρηθέντες·
ἥλοις μακροῖς τὰ σώματα κατεκεντήθησαν· καὶ οὕτως
ἑλκόμενοι καὶ συρόμενοι καὶ καταπατούμενοι ἀνηλεῶς
ἐπὶ τὴν γῆν· ὑπὸ ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων. πα-
ρέθεντο τῷ θεῷ τὰς ἁγίας καὶ μακαρίας αὐτῶν ψυχάς·
χριστιανὸς δέ τις ἀνὴρ εὐλαβὴς καὶ τὸν θεὸν φοβούμενος· ὃς
τούτους ὑπὲρ αὐτοῦ μαρτυροῦντας ζῶντας μὲν θαρσοποιῶν
πρὸς τὸ μαρτύριον· τελειωθέντας δὲ ἀγαπῶν καὶ τιμῶν.
λαβὼν ἀπὸ τῆς ἀσίας τὰ τίμια λείψανα τῶν ἁγίων· καὶ
μετακομίσας εἰς θάσον τὴν νῆσον. κατέθετο ἐντίμως·
καὶ βρύουσι μέχρι τῆς σήμερον ἰάματα τοῖς πιστοῖς· ἐκα-
λεῖτο δὲ ὁ μετακομίσας αὐτὰ πιστὸς ἀνήρ. τερεντιανός·

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Νέστορος

Ὁ μάρτυς Νέστωρ. ὑπῆρχεν ἐκ τῆς πόλεως Θεσσαλονίκης. ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ. χριστιανὸς δὲ ὤν. ἀπήρχετο πρὸς τὸν ἅγιον Δημήτριον ἐν ᾧ ἐκαθέζετο τόπῳ καὶ ἐδίδασκε. καὶ ἐμάνθανεν ἀκριβέστερον παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας. παρατυχόντος δὲ τοῦ Μαξιμιανοῦ ἐν τῇ Θεσσαλονίκῃ καὶ ἱπποδρομίαν ἐπιτελοῦντος. καὶ τιμῶντος ἄνδρα ἐθνικὸν Λυαῖον ὀνόματι μονομάχον. ὑπερμεγέθη καὶ ἰσχυρόν. καὶ πολλοὺς τῶν ἀνθισταμένων αὐτῷ ἀναιροῦντος ἐν τῷ θεάτρῳ. ἰδὼν ὁ ἅγιος Νέστωρ. ἐπλήσθη θεϊκοῦ ζήλου. καὶ ἐπεὶ ἤκουσε τοῦ Μαξιμιανοῦ λέγοντος εἴ τις θέλει πολεμήσαντα καὶ νικήσαντα Λυαῖον. τρέχει πρὸς τὸν ἅγιον. καὶ κοινολογεῖται αὐτῷ περὶ τούτου. Καὶ παρ' ἐκείνου στηριχθεὶς καὶ δυναμωθεὶς τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀνεῖλε ξίφει τὸν Λυαῖον. θυμωθεὶς δὲ ὁ βασιλεὺς διὰ τοῦτο. ἀπεκεφάλισε τὸν Νέστορα. Καὶ οὕτως ἐτελειώθη νικήσας καὶ τὸν διάβολον καὶ τὸν Λυαῖον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἀνάμνησις τοῦ μεγάλου σεισμοῦ

Τῷ εἰκοστῷ τετάρτῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου
ἰνδικτιῶνος ἐνάτης, μηνὶ Ὀκτωβρίῳ εἰκάδι ἕκτῃ, ἐν τῇ
μνήμῃ τοῦ ἁγίου Δημητρίου, ἐγένετο σεισμὸς μέγας καὶ φο-
βερὸς ἐν Κωνσταντινουπόλει. καὶ κατέπεσον πάντα τὰ
οἰκήματα καὶ αἱ ἐκκλησίαι καὶ πολλοὶ ἀπέθανον συγχω-
σθέντες τῇ συμπτώσει· ὅθεν τὴν ἀνάμνησιν τοῦ τοιούτου
φοβεροῦ σεισμοῦ ἑορτάζοντες, λιτανεύομεν καὶ ἀπερχό-
μεθα εἰς τὸν τῆς παναχράντου ὑπερενδόξου δεσποίνης
ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μέγαν καὶ ἱερὸν
ναὸν τὸν ἐν Βλαχέρναις· ἱκετεύοντες καὶ δυσωποῦντες
αὐτὴν ἐκτενῶς· καὶ τὸν ἐξ αὐτῆς ἀσπόρως καὶ ἀφθόρως
γεννηθέντα διὰ ἡμᾶς τοὺς ἁμαρτωλοὺς Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πα-
ρακαλοῦντες, ῥύσασθαι ἡμᾶς τῆς δικαίας αὐτοῦ καὶ δι'
ἡμῶν κινουμένης ὀργῆς· ἐκ τοιούτων μεμνημένοι τῆς τοι-
αύτης ἀνάγκης, εὐχαρίστως ἑορτάζομεν ἐτησίως τὴν πα-
ροῦσαν ἑορτήν· εὐχόμενοι μὴ τοιαύτῃ περιπεσεῖν ἀπειλῇ.

Μηνὶ τῷ αὐτῷ κζ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Καπετωλίνης καὶ Ἐρωτηΐδος τῆς οἰκέτιδος αὐτῆς.

Ἡ μάρτυς Καπετωλίνα ἦν μὲν ἐπὶ Διοκλητιανοῦ βασιλέως·
ὑπῆρχε δὲ ἐκ τῆς χώρας Καππαδοκίας· εὐγενὴς πά-
νυ· κρατηθεῖσα δὲ καὶ παραστᾶσα τῷ ἄρχοντι, ἠρωτή-
θη ὄνομα καὶ πόλιν, καὶ γονεῖς· καὶ ἀποκριθεῖσα
ὅτι χριστιανὴ μὲν καλοῦμαι· πόλιν δὲ ἔχω τὴν ἄνω Ἱερουσαλήμ·
καὶ πατέρας τοὺς διδασκάλους τῶν χριστιανῶν· μεθ' ὧν καὶ
τὸν μέγαν Φιρμιλιανὸν τὸν Καισαρείας τῆς Καππαδο-
κίας ἐπίσκοπον· γενναίως οὖν τὸν Χριστὸν ἀνακηρύξασα·
καὶ ἐλέγξασα τὴν ψευδώνυμον πλάνην τῶν εἰδώλων, ἐ-
δέθη καὶ ἀπεκλείσθη ἐν τῇ φυλακῇ· ἡ δὲ ταύτης δού-
λη Ἐρωτηῒς ἀκούσασα, ἀπῆλθεν ἐν τῇ φυλακῇ· καὶ
κατεφίλει τὰ δεσμὰ τῆς κυρίας αὐτῆς· ὅθεν ἡ μὲν
ἁγία Καπετωλίνα τὴν κεφαλὴν ἀποτέμνεται· ἡ δὲ
ἁγία Ἐρωτηῒς πρότερον ἐν πυρὶ ἐμβληθεῖσα καὶ ὑγιὴς
ἐξελθοῦσα· καὶ καταναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις
καὶ μὴ πεισθεῖσα, ὕστερον καὶ αὐτὴ ξίφει τμηθεῖσα ἐτελειώθη.

27 Oct.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἰωάννου τοῦ Χοζεβίτου.

Οὗτος γέγονεν ἀπὸ Θηβῶν τῆς Αἰγύπτου, πλουσίων γονέων υἱός· ἀνὴρ δὲ γενόμενος καθ' ἡλικίαν, ἀκοινώνητος ἦν τῆς καθολικῆς ἐκκλησίας διὰ τὴν ἐν Χαλκηδόνι σύνοδον· ἐπεθύμησε δέ ποτε ἀπελθεῖν καὶ προσκυνῆσαι τοὺς σεβασμίους τόπους· καὶ ὁρᾷ καθ' ὕπνους ἑαυτὸν μὲν πολλὰ κοπιῶντα καὶ ἀγωνιζόμενον εἰσελθεῖν καὶ προσκυνῆσαι τὸν τίμιον σταυρόν· μὴ δυνάμενον δὲ θύραν ἀνευρεῖν· ἀγωνιζομένου δὲ πολλάκις, αὐτῷ φωνὴ λέγουσα· τοὺς μὴ κοινωνοῦντας τῇ καθολικῇ ἐκκλησίᾳ, ὁ σταυρὸς οὐ παραδέχεται· ὁ δὲ ἔξυπνος γενόμενος, ἐκοινώνησε τῇ καθολικῇ ἐκκλησίᾳ· καὶ παραυτὰ ἐξῆλθεν εἰς τὰς πλησίον ἐρήμους· καὶ ἔμεινεν ἐν τῷ ὄρει τοῦ Χοζεβᾶ ἐν σπηλαίοις· πᾶσαν ἄσκησιν ἐνδεικνύμενος· καὶ θαύματα ἐπιτελέσας· καὶ πολλοὺς διδάξας μιμεῖσθαι τὴν ἐνάρετον αὐτοῦ πολιτείαν καὶ τὴν ἄσκησιν, ἐτελειώθη ταφεὶς ἐν αὐτῷ τῷ ὄρει τῆς ἐρήμου.

Oct. Joannes Chozebit.

Μηνὶ τῷ αὐτῷ κθ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἀβραμίου·

Ὁ ὅσιος Ἀβράμιος ἦν μὲν Χριστιανῶν υἱός· συνεζεύχθη δὲ ἀ-
κουλήτως γυναικί· διὰ δὲ τὸν Χριστὸν καταλιπὼν αὐτὴν
καὶ ἀναχωρήσας, ἀπέκλεισεν ἑαυτὸν εἰς μικρὸν οἴκημα·
καὶ μετὰ χρόνους δέκα, χειροτονεῖται πρεσβύτερος· τε-
λευτήσαντος δὲ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ καταλιπόντος
παιδίον θηλυκὸν ὡσεὶ χρόνων ἑπτά, ἀνέλαβεν αὐτὸ
ὁ ἅγιος· καὶ πλησίον τοῦ κελλίου αὐτοῦ εἰς ἕτερον κελ-
λίον ἀπέκλεισεν· ἐν τῷ εἰκοστῷ δὲ χρόνῳ τῆς ἡλικίας
αὐτῆς, συνέβη φθόνῳ τοῦ δαίμονος περιπεσεῖν αὐτὴν
πορνείᾳ· εἶτα καὶ ἐν πανδοχείῳ ἀποβληθεῖσαν μετὰ πορ-
νῶν· γνοὺς δὲ ὁ ἅγιος, καὶ στρατιώτου σχῆμα φορέσας,
καὶ τοῦ κελλίου αὐτοῦ ἐξελθών, καὶ ἐπιβὰς ἵππου,
τοῦ πτώματος ταύτην ἐξήρπασε· καὶ τῷ ἰδίῳ κελ-
λίῳ ἀποκατέστησε· καὶ τοιαύτην μετάνοιαν ἐνεδεί-
ξατο, ὡς καὶ σημεῖα ποιῆσαι· καὶ οὕτω τελειωθῆναι·
ἐκοιμήθη δὲ καὶ ὁ ὅσιος Ἀβράμιος ἐν βαθυτάτῳ γήρᾳ·

29 Oct Abraam; pris. H.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΚΛΑΥΔΙΟΥ· ΑΣΤΕΡΙΟΥ· ΝΕΩΝΟΣ. ΚΑΙ ΘΕΟΝΙΛΛΗΣ·

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ Λυσίου ἡγεμόνος τῆς Κιλικίας· νέοι μὲν τὴν ἡλικίαν. ἀδελφοὶ δὲ γενόμενοι· μητρυιὰν δὲ ἔχοντες· καὶ τὴν γονικὴν μοῖραν τῶν ὑπαρχόντων ζητοῦντες· ἀπῆλθον ἐν Αἰγαίᾳ τῇ πόλει δικάσασθαι ἐπὶ τοῦ ἡγεμόνος· ἡ δὲ μητρυιὰ μὴ θέλουσα τι ἀποδοῦναι αὐτοῖς· διέβαλεν αὐτοὺς ὡς χριστιανούς· καὶ κρατηθέντες καὶ ἐρωτηθέντες· ὡμολόγησαν τὸ ὄνομα τοῦ Χ(ριστο)ῦ παρρησίᾳ· ὅθεν μὲν εἰσαχθέντες ἐν τῷ θεάτρῳ καὶ γυμνοὶ κρεμασθέντες· ἐτιμωρήθησαν καὶ ἐξέσθησαν ἰσχυρῶς· εἶτα μετὰ πολλὰς πληγὰς καὶ διαφόρους βασάνους· δήσαντες αὐτοὺς οἱ στρατιῶται εἰς μίαν ἅλυσιν. ἀπήγαγον ἔξω τοῦ τείχους τῆς πόλεως· καὶ ἐπὶ ξύλων κρεμάσαντες· καὶ ἥλοις προσηλώσαντες· ἐφόνευσαν· εἶτα προσήχθη καὶ ἡ ἁγία Θεονίλλα· καὶ κρεμασθεῖσα καὶ αὐτὴ ἀπὸ τῶν τριχῶν· καὶ τυπτομένη ῥάβδοις ἐπὶ πολλαῖς ταῖς ὥραις· ἀπέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κ(υρί)ῳ·

29 Oct. Claudij, Asterij, Neonis et Theonillae mart.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ΄. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΕΠΙΜΑΧΟΥ·

Ἐπίμαχος ὁ μάρτυς· ἦν μὲν ἀμφηρὶ ἰδιώτης· ὡραῖος δὲ τῇ ὄψει·
ὑπάρχων ἐκ τῆς χώρας Αἰγύπτου· χερνιαμὸς δὲ ὤν. καὶ
θεωρῶν τὸν τῆς χώρας ἄρχοντα βασανίζοντα τοὺς ἁγίους
μάρτυρας ἐν Ἀλεξανδρείᾳ τῇ πόλει ἐλυπεῖτο· ἐν μιᾷ
δὲ τῶν ἡμερῶν καταναγκάζοντος τοῦ ἄρχοντος τοὺς
ἁγίους θῦσαι τοῖς εἰδώλοις· καὶ τοῦ βωμοῦ προκειμένου.
ζήλου θείου πλησθεὶς ὁ Ἐπίμαχος· ὁρμήσας κατέστρε-
ψε τὸν βωμόν· ὅθεν κρατηθεὶς· παρεδόθη τῇ φυλακῇ·
ἀλλὰ καὶ ἐκεῖ παρεκάλει τοὺς ἁγίους· προθύμως ὑπὲρ
Χριστοῦ μαρτυρεῖν· ἐκβληθέντων δὲ τῶν ἁγίων τῆς φυλακῆς·
καὶ τὸν ἄρχοντα ἐλεγξάντων. ἠρώτησεν ὁ ἄρχων ὅτι πόθεν
ἐκτήσαντο τὴν παρρησίαν· καὶ μαθὼν ὅτι ἐκ τοῦ Ἐπιμάχου.
κρεμάσας αὐτὸν ἔξεσεν· ἱσταμένης δὲ καί τινος μονοφθάλ-
μου κόρης καὶ ἐμβλεπούσης αὐτὸν καὶ θρηνούσης· ἐπάταξεν αἷ-
μα εἰς τὸν ἐσκοτισμένον αὐτῆς ὀφθαλμὸν καὶ εὐθὺς ἀνέβλεψε·
θυμωθεὶς ὁ ἄρχων. ἀπεκεφάλισεν αὐτόν· καὶ οὕτως ἐτελειώθη·

30 Oct. Epimachi Mart.

149

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐτροπίας.

Ἡ μάρτυς Εὐτροπία ἦν μὲν ἀπὸ Ἀλεξανδρείας τῆς Αἰγύπτου·
ἐπειδὴ δὲ πλῆθος μαρτύρων ἐν τῇ φυλακῇ τῆς αὐτῆς πό-
λεως ἀποκέκλειστο, ἐλθοῦσα αὐτοῖς· ποτὲ μὲν ἀπήρ-
χετο καὶ ἐπεσκέπτετο· ποτὲ δὲ ἀποστέλλουσα αὐτοῖς τὰ
πρὸς τὴν χρείαν· οὕτω δὲ ποιούσης, διεβλήθη τῷ ἡ-
γεμόνι Ἀλεξανδρείας· ὁ δὲ κρατήσας αὐτὴν ἐνέκλει-
σεν εἰς φυλακήν· εἶτα ἐξαγαγὼν αὐτὴν παρέστησε
τῷ βήματι αὐτοῦ· καὶ ὁμολογήσασαν τὸν Χριστὸν ἐκρέμα-
σε καὶ λαμπάσι κατέκαυσεν· ἡ δὲ καιομένη εὔξατο πρὸς
τοὺς τιμωροῦντας δημίους. καὶ ἔλαβε μανίαν ἡ ψυχρό-
της τοῦ ὕδατος τούτου ὃ περιέχεεν· τὰς γὰρ
φλόγας ὡς ὕδωρ ἐλογίζετο· καὶ διεβάσταζον οὕτω ὁρῶν ἄν-
δρα φοβερόν, ὁμοίως γὰρ ἐν τιμῇ καὶ οἱ στρατιῶται
ἐμβλέποντες. καὶ πάντες οἱ παρεστῶτες τοιαῦτα λέγοντες
καὶ εὐχαριστοῦσαι Χριστῷ διὰ τὰς τοιαύτας ἀλγηδόνας προ-
θύμως ὑπομένειν, παρέδωκεν αὐτῷ τὴν μακαρίαν αὐτῆς ψυχήν.

✠ μηνὶ τῷ αὐτῷ λά. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ζηνοβίου καὶ τῆς ἀδελφῆς αὐτοῦ Ζηνοβίας.

Ὁ μάρτυς Ζηνόβιος ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Διοκλη-
τιανοῦ, υἱὸς Ζηνοδότου καὶ Θεοκλείας χριστιανῶν ὑπαρχόν-
των. εἶχε δὲ καὶ ἀδελφὴν καλουμένην Ζηνοβίαν. προκό-
ψας δὲ εἰς ἡλικίαν καὶ εἰς τὴν κατὰ Θεὸν γνῶσιν καὶ εὐσέβει-
αν, ἐπίσκοπος προχειρίζεται τῆς Αἰγαίων πόλεως, ἐν ᾗ
καὶ ἐγεννήθη. πλείστας δὲ ἰάσεις ἐπετέλει ἐν τῷ ὀνόματι
τοῦ Χριστοῦ, ὡς καὶ τὰ παρὰ τῶν ἰατρῶν ἀπηγορευμένα
πάθη θεραπεύειν. οὗτος κρατηθεὶς παρεδόθη τῷ ἡγε-
μόνι Λυσίᾳ. καὶ μαθοῦσα τοῦτο ἡ ἀδελφὴ αὐτοῦ Ζηνο-
βία, ἐπεδόθη καὶ αὐτὴ ἑκουσίως. τύπτονται οὖν καὶ
ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἐφαπλοῦνται.
καὶ εἰς λέβητα ζέοντα καὶ γέμοντα πίσσης ἐμβάλλον-
ται. ῥυσθέντες δὲ τῇ τοῦ Θεοῦ χάριτι τῶν τοιούτων βασά-
νων, πάλιν ἀναγκάζονται θῦσαι τοῖς ἀκαθάρτοις δαίμο-
σιν, ἀπονοίᾳ τοῦ δικάζοντος. μὴ πεισθέντες δέ, τὴν
διὰ ξίφους ἐδέξαντο τελευτήν, καὶ οὕτως ἐτελειώθησαν.

31 Oct. Zenobij et Zenobiae sororis Mart.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων Στάχυος· Ἀμπλία· Οὐρβανοῦ καὶ τῆς συνοδίας αὐτῶν·

Ὁ ἅγιος ἀπόστολος Στάχυς· ἐπίσκοπος προχειρίζεται τοῦ Βυ
ζαντίου παρὰ Ἀνδρέου τοῦ πρωτοκλήτου ἀποστόλου·
κτίσαντος ἐκκλησίαν. πέραν ἐν Ἀργυροπόλει· ἐν ᾗ
καὶ συνηθροίζοντο χριστιανοί, τὸν ἀριθμὸν δισχίλιοι·
καὶ διδάξας καλῶς αὐτούς· ἱεράτευσεν ἐπὶ ἔτη δεκαέξ· καὶ
ἐκοιμήθη ἐν εἰρήνῃ· ὁ δὲ Ἀμπλίας ἐπίσκοπος τῆς
Ὀδυσσοῦ πόλεως γέγονε· χώρας Μακεδονίας· ἀναι
ρεθεὶς ὑπὸ Ἑλλήνων· ὁ δὲ Οὐρβανὸς ἐπίσκοπος Μα
κεδονίας γέγονε· φονευθεὶς καὶ αὐτός· ὑπό τε Ἰουδαί
ων καὶ Ἑλλήνων· μετὰ καὶ ἑτέρων πολλῶν· καὶ οὗ
τοι ἐν ἡμέρᾳ μιᾷ· οὕτως συμπάντες· διαφόρως κα
τασκευασθέντες ἐν διαφόροις τόποις· καὶ ἐθνικοὶ καὶ πο
λῖται παρ' αὐτῶν [illegible] τὸν Θεὸν Ἑλλήνων τε
ἐθνῶν. παρέδωκαν τὰς μακαρίας αὐτῶν ψυχὰς τῷ
Κυρίῳ· τὰ δὲ τίμια λείψανα αὐτῶν ἀφθόρως κομισθέν
τα ἐν κώμῃ ... ἐν ταῖς ἀρδομέναις πηγαῖς·

Μηνὶ νοεμβρίῳ α'. ἡ κοίμησις τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, τῶν υἱῶν τῆς ἁγίας Θεοδότης.

Κοσμᾶς καὶ Δαμιανὸς οἱ ἅγιοι ἀνάργυροι, ὑπῆρχον υἱοὶ γυναικὸς τινὸς χριστιανῆς ὀνόματι Θεοδότης. Διδαχθέντες παρ' αὐτῆς τὴν ὀρθὴν πίστιν καὶ τὰ ἱερὰ γράμματα· παρὰ δὲ τοῦ ἁγίου πν(εύματο)ς τὴν ἰατρικὴν τέχνην. καὶ ἰατρεύον· οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ κτήνη· μισθὸν παρ' οὔτινος μὴ λαμβάνοντες· ἐθεράπευσαν δὲ καὶ γυναῖκά τινα ὀνόματι Παλλαδίαν· ἥτις κρυφᾶ προσδραμοῦσα τῷ ἁγίῳ Δαμιανῷ, προσήνεγκεν ᾠὰ τρία· καὶ ὥρκισε κατὰ τοῦ ὀνόματος τοῦ θ(εο)ῦ λαβεῖν αὐτά· Καὶ τοῦτο ἀκούσας ὁ ἅγιος Κοσμᾶς, παρήγγειλε μὴ τεθῆναι τὸ λείψανον Δαμιανοῦ ἐν τῇ τελευτῇ αὐτοῦ μετ' αὐτοῦ· ἐκοιμήθη δὲ πρότερον ὁ ἅγιος Κοσμᾶς· καὶ μετὰ ταῦτα τελευτήσαντος Δαμιανοῦ, διελογίζετο ὁ λαὸς ποῦ θάψει αὐτόν· καὶ ἐξαίφνης κάμηλος δραμοῦσα ἡ κρατηθεῖσα παρὰ τοῦ δαιμονίου καὶ ἰαθεῖσα παρὰ τῶν ἁγίων· ἐλάλησεν ἀνθρωπίνῃ φωνῇ, τεθῆναι τὸ λείψανον μετὰ τοῦ ἁγίου Κοσμᾶ· ὅτι οὐχ εἰς μισθὸν ἔλαβε τὰ ᾠὰ· ἀλλὰ διὰ τὸν ὅρκον· καὶ οὕτως ἐτέ[θησαν ἀμ]φότεροι·

1. Novem: Cosme et Damien

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων γυναικῶν Κυριαίνης καὶ Ἰουλιανῆς·

Κυριαίνη ἡ μάρτυς ὑπῆρχε μὲν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας· ἥτις ὑπὸ τοῦ ἡγεμόνος τῆς αὐτῆς πόλεως κρατηθεῖσα· καὶ πολλὰ ἀναγκασθεῖσα ἀρνήσασθαι τὸν Χ(ριστὸ)ν καὶ θῦσαι τοῖς εἰδώλοις· καὶ μὴ πεισθεῖσα, ξυρίζεται τὴν κεφαλὴν σὺν ταῖς ὀφρύσι· καὶ πιττάκιον μρεσον γέμον περιτίθεται ἐν τῷ μετώπῳ· ὅπως τὸ ἐπιτιμηθεῖσα, μετὰ ναρθηκίων ὑπὸ σχολητῶν παίδων μετ' ὕβρεως· καὶ ὑπὸ μίμων καὶ ἀτάκτων στρατιωτῶν τὴν Ταρσῶν πόλιν γυμνὴ περιήγετο· ἐζωσμένη δὲ μὴ ὁρᾶσθαι γυμνή, ὑπὸ θείας χάριτος ἐσκεπάσθη. καὶ οὐκέτι ἐμπαίζετο τοῖς εἰδωλολάτραις· μετὰ δὲ τοῦτο τιμωρηθῆναι ἀχθεῖσα ἐν πόλει Ῥαιδεστοῦ μετὰ καὶ ἑτέρας γυναικὸς χριστιανῆς Ἰουλιανῆς καλουμένης καὶ ἐκ τῆς αὐτῆς πόλεως ὑπαρχούσης. πυρὶ παρεδόθη· καὶ ἀμφότεραι ἐν τῇ καμίνῳ δοξάζουσαι τὸν Θ(εὸ)ν καὶ εὐχαριστοῦσαι αὐτῷ, τὰς μακαρίας αὐτῶν ἀφῆκαν ψυχάς·

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰωάννου ἐπισκόπου καὶ Ἰακώβου πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ.

Οὗτοι ὑπῆρχον ἐπὶ Σαπωρίου τοῦ Περσῶν βασιλέως· ἐν Περσίδι διδάσκοντες τὸν λόγον τῆς πίστεως. καὶ πολλοὺς ἐπιστρέφοντες ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν Κύριον. ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐθεάσατο ὁ ἐπίσκοπος Ἰωάννης καθ' ὕπνους ὅμοιον ἄνδρα τινὰ δήμιον κατέχοντα σπαθίον ὅπερ ἐν τῷ ἀέρι εἶχε στέφανον· ὅστις δήμιος δραμὼν ἐπὶ τὸν ἐπίσκοπον, ἐπέθηκεν ἐν τῇ κεφαλῇ αὐτοῦ τὸν στέφανον εἰπών· λάβε σὺ ἐπίσκοπε τὸν στέφανον ὃν ἐπεθύμησας. καὶ μετ' ὀλίγας ἡμέρας ἐκρατήθη παρὰ τῶν ἀπίστων καὶ αὐτὸς καὶ Ἰάκωβος ὁ πρεσβύτερος. καὶ πολλὰ τιμωρηθέντες πρότερον καὶ διαφόροις βασάνοις προσομιλήσαντες, ὕστερον διὰ ξίφους ἐτελειώθησαν, εὐχαριστοῦντες τῷ Θεῷ ἡμῶν μέχρι θανάτου, ὅτι ὑπὲρ αὐτοῦ θανεῖν ἠξιώθησαν. καὶ ἀπέβη τῷ ἐπισκόπῳ τὸ ὄνειρον, ἀπολαβόντι τὸν στέφανον τῆς ἀφθάρτου ζωῆς. Ἐτάφησαν δὲ ἐντίμως ἐν ταὐτῷ, ὑπὸ πιστῶν καὶ εὐλαβῶν ἀνδρῶν.

1 Nov. Ioannis Ep̄i et Iacobi Presbiteri uocati Zelotæ Mart.

✝ Μηνὶ τῷ αὐτῷ β΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκινδύνου· Πηγασίου· Ἀφθονίου· Ἀνεμποδίστου. Ἐλπιδηφόρου. καὶ τῆς συνοδίας αὐτῶν⁘

Τούτων τῶν ἁγίων· ὁ μὲν Ἀκίνδυνος· Πηγάσιος· καὶ Ἀνεμπόδιστος· ὑπῆρχον ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου· ἐκ τῆς χώρας Περσῶν· ἐν ἰδιάζοντι δὲ κελλίῳ καθεζόμενοι. ἐδίδασκον τὸν λόγον τοῦ θεοῦ· καὶ κρατηθέντες ὑπὸ Σαβωρίου τοῦ Περσῶν βασιλέως· ἐβασανίζοντο· ἀλλὰ διὰ προσευχῆς· ἄλαλον ποιοῦσι τὸν βασιλέα· καὶ πάλιν θεραπεύουσιν· εἶτα ἐνεβλήθησαν εἰς λέβητας γέμοντας μολύβδου καὶ κοχλάζοντας· καὶ ἐξῆλθον ἀπαθεῖς· Ἀφθόνιος δὲ στρατιώτης ὤν· ἰδὼν τὸ θαῦμα, ἐπίστευσε τῷ Χριστῷ· καὶ ἔξω τειχῶν ἀπεκεφαλίσθη· εἶτα ἐμβάλλονται εἰς θυλάκους βοείους· καὶ ῥίπτονται εἰς θάλασσαν· καὶ φανεὶς ὁ ἅγιος Ἀφθόνιος σὺν ἀγγέλοις ἐξήγαγεν αὐτοὺς ἐπὶ τῆς ξηρᾶς· καὶ διότι ἐξῆλθον. χειροκοποῦνται ὑπὸ τῶν αὐτῶν στρατιωτῶν· ὁ δὲ συγκλητικὸς Ἐλπιδηφόρος ἰδὼν ἀντεῖπε τῷ βασιλεῖ· καὶ σὺν αὐτῷ ἐπίστευσαν ἑπτακισχίλιοι ἄνδρες· καὶ ἀπεκεφαλίσθησαν· ὑπεβλήθησαν λέβητι καὶ μετὰ τῆς μητρὸς Σαβωρίου πιστευσάσης. καὶ πυρὶ παρεδόθησαν⁘

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀττικοῦ, Εὐδοξίου, Ἀγαπίου, καὶ τῆς συνοδίας αὐτῶν.

Οὗτοι οἱ ἅγιοι, στρατιῶται ὑπῆρχον ἐν τῇ πόλει Σεβαστείᾳ ἐπὶ Λι-
κιννίου τοῦ βασιλέως· ὅτι μὲν συμβουλεύων πάσῃ τῇ στρα-
τιᾷ, ἐμμένειν τῇ πίστει τοῦ Χριστοῦ· διὸ βασανίζονται ὑπὸ
Μαρκέλλου τοῦ δουκός· εἶτα ἐμβάλλονται εἰς φυλακήν·
ἐκεῖθεν ἐκβληθέντες δέ, τύπτονται κατὰ νώτου καὶ κοιλίας
νεύροις ὠμοῖς· εἶτα ἐκριζοῦνται τοὺς ὀδόντας· τι-
μωρουμένων δέ, ἔλεγεν ὁ δοὺξ πρὸς τὸν μάγιστρον Καρτέριον·
ὅτι σὺ μόνος ἀπειθήσας τὸν λαὸν τῆς τοῦ βασιλέως ὑπο-
ταγῆς· ὁ δὲ ἔλεγεν· ὅτι οὐ συμβουλεύσας τὸν λαὸν ἐπανα-
στῆναι τῷ βασιλεῖ· ἀλλὰ προσελθεῖν τῷ ἀθανάτῳ βασι-
λεῖ Χριστῷ· μετὰ ταῦτα, ἔρχεται Σταυράκιος καὶ ὁμολογεῖ τὸν
Χριστόν· καὶ αὐθις τῶν βίας· εἶτα Νικοπολιτιανός· καὶ κατα-
κρίνονται ξύλοις συντριβῆναι· καὶ μετὰ ταύτην τὴν βά-
σανον καὶ ἑτέρας πλείονας ἀλγηδόνας ὑπομείναντες αὐ-
τοὶ καὶ ἄλλων πολλῶν τῶν πιστευσάντων εἰς Χριστόν· τέλος τῇ
διὰ τοῦ πυρὸς ἀποφάσει ἐμβληθέντες, ἐτελειώθησαν.

2 Nou. Attici Eudoxii, Agapii et sociorum Mart.

147

Μηνὶ τῷ αὐτῷ γ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ ἐπισκόπου, Ἰωσὴφ πρεσβυτέρου, καὶ Ἀειθαλᾶ διακόνου.

Καὶ οὗτοι οἱ ἅγιοι ἐν Περσίδι ἐμαρτύρησαν ὑπὸ Σαπωρίου τοῦ τυράννου, ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως Ῥωμαίων. Ἦν οὖν ὁ ἅγιος Ἀκεψιμᾶς ἐπίσκοπος· λευκὸς τὴν τρίχα· γέρων γὰρ ὢν ἐτῶν ὀγδοήκοντα· συμβεῶς ἔτι ἔχων τὸ σῶμα· εὐμήκης καὶ ὄρθιος· περιουσίαν κεκτημένος πολλήν· κρατηθεὶς δὲ μετὰ τῶν σὺν αὐτῷ· καὶ παραστὰς τῷ ἀρχιμάγῳ· καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ ἀέρι· ἀλλὰ μᾶλλον ἐξυβρίσας εἰς αὐτούς· τύπτεται ἰσχυρῶς καὶ δεσμεῖται· εἶτα ἄγεται Ἰωσήφ· ἐκ τῆς αὐτῆς χώρας ὑπάρχων καὶ αὐτὸς γηραιός· Καὶ ἀντιστὰς τῷ ἀρχιμάγῳ, τείνεται καὶ μαστίζεται, ὥστε διακοπῆναι τὰς σάρκας αὐτοῦ μέχρι τῶν ὀστέων· Καὶ συνδεσμεῖται τῷ ἁγίῳ Ἀκεψιμᾷ· εἶτα ἄγεται καὶ Ἀειθαλᾶς· Καὶ δεσμεῖται τὰς χεῖρας ὑπὸ τὰ γόνατα· καὶ ἐξαρθροῦται πάσας τὰς τοῦ σώματος ἁρμονίας· μετὰ ταῦτα ὁ μὲν ἅγιος Ἀκεψιμᾶς τυπτόμενος ἐτελειώθη· ὁ δὲ Ἰωσὴφ κατὰ κεφαλῆς κρεμασθεὶς ἐλιθοβολήθη· ὁ δὲ Ἀειθαλᾶς καὶ αὐτὸς κατὰ κεφαλῆς κρεμασθεὶς, παρέδωκε τὸ πνεῦμα.

τὸν αὐτ

3 Nov. Acepsimas ep., et Joseph presb., et Aithala diacon. Mart.

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἰωαννικίου τοῦ θαυματουργοῦ:·

Ὁ μέγας πατὴρ ἡμῶν Ἰωαννίκιος, ὑπῆρχεν ἐκ τῆς χώρας Βιθυ-
νίας· ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου· διὰ
δὲ τὴν ἀνδρίαν αὐτοῦ, στρατευθεὶς τὴν τῶν ἐκσκου-
βιτόρων στρατείαν. καὶ ἠνδραγάθει ἐν πᾶσι πολέμοις·
κατακόπτων τὸ τῶν Βουλγάρων ἔθνος· ἐν μιᾷ δὲ πο-
λέμου γενομένου, ἰδὼν πολλοὺς τῶν συστρατιωτῶν σφα-
γέντας καὶ μυσηθεὶς, καταλιπὼν τὴν στρατείαν· καὶ
καταλαβὼν τὸ τοῦ Ὀλύμπου ὄρος καὶ ἡσυχάσας· εἶτα
γνωρισθεὶς παρὰ συστρατιώτου τινός· φυγὼν ἀπῆλ-
θεν ἐν τῷ τῆς Λυκίας ὄρει· ἐν ᾧ πολλὰ θαύματα ποι-
ήσας. δι' ἀποκαλύψεως ἦλθεν εἰς τὴν μονὴν Ἐριστῆς.
Καὶ γίνεται μοναχός· καὶ ἀπὸ ὄρους εἰς ὄρος μεταναίων.
ἐθαυματούργει· καὶ δαίμονας ἐφυγάδευεν· ἐδέξατο δὲ
καὶ προορατικὰ χαρίσματα· καὶ βασιλεῦσι μὲν ἄλλα προεῖπε
καὶ πατριάρχαις ἄλλα· καὶ μετὰ τὸ γενέσθαι τὸν ἅγιον Μεθόδιον
πατριάρχην τοῦ Βυζαντίου προεφήτευσε. μετὰ τρίτην ἡμέραν ἐκοιμήθη:·

3 Nov. Ioannicii miracula ederet ...

149

Μηνὶ τῷ αὐτῷ δ΄. ἄθλησις τοῦ ἁγίου μάρτυρος Πορφυρίου·

Πορφύριος ὁ μάρτυς ... ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Αὐρηλια-
νοῦ ἐκ τῆς πόλεως Ἐφέσου· εἷς ὢν τῆς θυμέλης καὶ ἐν τῇ ὀρ-
χηστικῇ εὐδοκιμῶν· τούτου τοῖς παιγνίοις τερφθεὶς ὁ τῆς
Καισαρέων κόμης Ἀλέξανδρος, προσελάβετο αὐτὸν καὶ ἀ-
νελθὼν εἰς Καισάρειαν· ἑορτῆς δὲ τοῖς δαίμοσι τελουμένης·
καὶ τῶν παιγνίων γινομένων, διέπαιζον τὸ καὶ οἱ τῶν χρι-
στιανῶν τύποι· καὶ προσήχθη Πορφύριος παρ' αὐτοῦ δῆθεν
εἰς τύπον ἐπισκόπου σχηματισθέντος βαπτισθῆναι· ἐν-
χυθέντος οὖν ὕδατος, γυμνωθεὶς εἰσῆλθεν ἐν αὐτῷ· τοῦ ψευδοε-
πισκόπου ὡς οἱ χριστιανοὶ λέγοντος, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· βαπτίζεται Πορφύριος· καὶ τούτου
γενομένου, ἦλθον ἄγγελοι καὶ ἐνέδυσαν στολὴν λευκὴν τὸν
Πορφύριον· μετὰ λαμπάδων ψάλλοντες· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθη-
τε, Χριστὸν ἐνεδύσασθε ἀλληλούϊα· ἰδόντες οὖν τὸ θαῦμα, πολλοὶ ἐ-
πίστευσαν ἐπὶ τὸν κύριον· ὁ δὲ κόμης αἰσχυνθεὶς ὑπεχώρησε· καὶ τῇ
ἐπαύριον ἀγαγὼν αὐτὸν καὶ ὡς ἐστῶτα διαμαρτῶν, ἀπεκεφάλισεν·

4 Nov. Porfiry Mart. ...

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο΄· Πατροβᾶ, Ἑρμᾶ, Λίνου, Γαΐου καὶ Φιλολόγου·

Οὗτοι πάντες ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα μαθητῶν καὶ ἀποστόλων· καὶ ὁ μὲν Πατροβᾶς, οὗ καὶ ὁ μέγας Παῦλος ἐν ταῖς ἑαυτοῦ ἐπιστολαῖς μέμνηται, ἐπίσκοπος Ποτιολῶν γέγονε· πολλοὺς βαπτίσας, καὶ προσαγαγὼν τῷ Χριστῷ. Ὁ δὲ Ἑρμᾶς, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς μέγας ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἐπίσκοπος Φιλιππουπόλεως γέγονεν· ὁ δὲ Λῖνος μετὰ Πέτρον τὸν ἁγιώτατον ἀπόστολον, τῆς μεγάλης Ῥώμης ἐπίσκοπος ἐχρημάτισεν· ὁ δὲ Γάϊος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, μετὰ τὸν ἅγιον Τιμόθεον ἐπίσκοπος Ἐφέσου ἐγένετο· ὁ δὲ Φιλόλογος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται, ἐπίσκοπος Σινώπης γέγονεν ὑπὸ Ἀνδρέου τοῦ πρωτοκλήτου τῶν ἀποστόλων· καὶ ἐπισκοπεύσαντες ἐν ταῖς δηλωθείσαις πόλεσι, καὶ πλείστους πειρασμοὺς καὶ θλίψεις διὰ τὸν τῆς εὐσεβείας λόγον ὑπομείναντες, καὶ πολλοὺς διδάξαντες καὶ τῷ Χριστῷ προσαγαγόντες λαούς, ἐν εἰρήνῃ ἐτελειώθησαν·

+ ... Patrobe, Erme Lini Gaij et Filologi

Μηνὶ τῷ αὐτῷ ε΄. ἄθλησις τῶν ἁγίων Γαλακτίωνος καὶ Ἐπιστήμης:

Ὁ ἅγιος Γαλακτίων ὑπῆρχεν ἐκ τῆς πόλεως Ἐμέσης. γεννηθεὶς ἐκ προρρήσεως μοναχοῦ τινὸς Ὀνουφρίου, τοῦ καὶ τοὺς γονεῖς αὐτοῦ βαπτίσαντος. τελευτησάσης δὲ τῆς μητρὸς, ὁ πατὴρ ἐμνηστεύσατο αὐτῷ γυναῖκα παρθένον ὡραίαν ὀνόματι Ἐπιστήμην. ἑλληνίζουσαν· Καὶ μετὰ τὸν γάμον· ἀπερχόμενος ὁ Γαλακτίων πρὸς αὐτήν. οὐκ ἠσπάζετο αὐτήν· ἐρωτησάσης δὲ ἐκείνης ὅτι διατί οὕτως ποιεῖς, εἶπεν· διότι οὐχ ὑπάρχεις χριστιανή· ἡ δὲ ἀκούσασα, εὐθέως συνέθετο γενέσθαι χριστιανή· πρεσβυτέρου δὲ μὴ ὄντος διὰ τὸν διωγμόν. ἐβαπτίσθη παρὰ τοῦ Γαλακτίωνος· εἶτα συνέθεντο ἀλλήλοις· καὶ διένειμον τὸν πλοῦτον αὐτῶν τοῖς πένησι· καὶ ἀνῆλθον εἰς ὄρος καὶ ἐμόνασαν ἰδίως εἰς μοναστήρια· ἐγένετο δὲ διωγμὸς τότε κατὰ τῶν χριστιανῶν· καὶ μαθὼν ὁ τῆς χώρας ἄρχων περὶ αὐτῶν. ἀπέστειλε καὶ ἐκράτησε τὸν Γαλακτίωνα· ϛ τούτου συρομένου. ἔφθασεν αὐτὸν ἡ Ἐπιστήμη καὶ συνεκρατήθη· ϛ παρὰ τοῦ ἄρχοντος κοπέντες τὰς χεῖρας καὶ πόδας. ἀπεκεφαλίσθησαν:

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Δομνίνου καὶ τῶν σὺν αὐτῷ
Θεοτίμου, Τιμοθέου, Φιλοθέου, Δωροθέου, Καρτερίου,
καὶ Σιλβανοῦ.

Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· διδάσκοντες
δὲ τὸν λόγον τοῦ θεοῦ, καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφοντες
ἐπὶ τὸν κύριον, διεβλήθησαν τῷ Μαξιμιανῷ· καὶ κρατηθέντες ἐ-
τιμωρήθησαν ἰσχυρῶς· εἶτα κατεδικάσθησαν ταλαιπω-
ρεῖσθαι ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις. Καὶ μετὰ χρόνον πο-
λὺν ἐκβληθέντες τοῦ χαλκείου, καὶ παραστάντες τῷ
παρανόμῳ βήματι· καὶ καταναγκασθέντες θῦσαι τοῖς
εἰδώλοις, καὶ μὴ πεισθέντες, ἐκρεμάσθησαν καὶ ἐξέσθη-
σαν ἀνηλεῶς. Ὁρῶν δὲ τὴν καρτερίαν αὐτῶν Πάμφι-
λός τις ἀνὴρ καὶ λογισάμενος ὅτι εἰ μὴ εἶχον οὗτοι
μεγάλας καὶ βεβαίας τὰς ἐλπίδας, οὐκ ἂν τοιαύτας
τιμωρίας ὑπέμενον, ἐπίστευσε τῷ Χριστῷ· καὶ σὺν αὐ-
τῷ γυναῖκες παρθένοι τρεῖς. Καὶ τούτου γενομέ-
νου, θυμωθεὶς ὁ Μαξιμιανὸς ἔδωκεν ἀπόφασιν
κατ' αὐτῶν· καὶ πάντες ἀποκεφαλισθέντες παρέ-
δωκαν τῷ κυρίῳ τὰς ἁγίας καὶ μακαρίας αὐτῶν ψυχάς.

5 Nov. Domnini Timothei Filothei Dorothei, Carterij et Siluani Sociorum.

Μηνὶ τῷ αὐτῷ ϛ΄. Ἄθλησις τοῦ ἁγίου Παύλου τοῦ ὁμολογητοῦ πατριάρχου Κωνσταντινουπόλεως.

Οὗτος ὁ ἅγιος ὑπῆρχεν ἐκ τῆς Θεσσαλονίκης· νοτάριος Ἀλεξάνδρου τοῦ ἁγιωτάτου πατριάρχου. καὶ διάκονος τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας· ὃν οἱ ὀρθόδοξοι μετὰ τελευτὴν Ἀλεξάνδρου· προχειρίζονται πατριάρχην· Κωνστάντιος δὲ ὁ βασιλεὺς ἀρειανὸς ὤν· ὑποστρέψας ἀπὸ Ἀντιοχείας ἐκβάλλει τοῦ θρόνου· καὶ ἀντ᾽ ἐκείνου προχειρίσατο Εὐσέβιον τὸν Νικομηδείας· ὁ δὲ καταλαμβάνει τὴν Ῥώμην· εὑρὼν καὶ τὸν μέγαν Ἀθανάσιον ἐκβεβλημένον τοῦ οἰκείου θρόνου· καὶ διὰ γραμμάτων τοῦ βασιλέως Κώνσταντος, ἀπολαμβάνουσι τοῖς οἰκείοις θρόνοις· καὶ πάλιν ἐκβάλλονται παρὰ Κωνσταντίου, συμβουλῇ τῶν ἀρειανῶν· τότε γράφει Κώνστας πρὸς τὸν ἀδελφὸν Κωνστάντιον· ὅτι εἰ μὴ ἀπολαμβάνοιεν τοῖς θρόνοις ἑαυτῶν. ἐλεύσομαι μετὰ στρατοῦ κατὰ σοῦ· ἀπολαμβάνει οὖν τὸν θρόνον ὁ Παῦλος τὸ τρίτον· καὶ μετὰ θάνατον Κώνσταντος, ἐξορίζεται εἰς Κουκουσὸν τῆς Ἀρμενίας· καὶ ἀποκλεισθεὶς ἐν οἰκήματι, λειτουργῶν ἀποπνίγεται παρὰ τῶν ἀρειανῶν μετὰ τοῦ ἰδίου ὠμοφορίου·:

6. Nov. Pauli confessoris patriarchae constantinopolit.

✠ ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, Η ΑΝΑΜΝΗΣΙΣ ΤΗΣ ΠΕΣΟΥΣΗΣ ΕΚ ΤΟΥ ΟΥΡΑΝΟΥ ΚΟΝΕΩΣ ΗΤΟΙ ΤΕΦΡΑΣ ΗΦΑΚΤΗΣ ✝

Βασιλεύοντος τοῦ μεγάλου βασιλέως τοῦ ἐπιλεγομένου Μακέλ-
λου· περὶ τὰ τελευταῖα τῆς αὐτοῦ βασιλείας· ὥρᾳ δεκάτῃ
τῆς ἡμέρας, γέγονε σημεῖον φοβερὸν οὕτως· καὶ τὴν μὲν συνήθη τῶν
ὀμβροφόρων νεφῶν μελανίαν εἰς πυρώδη θέαν μετα-
βαλόντων. ἐδόκει τὰ πάντα καταφλέγειν· ὡς νομίζειν ἅπαν-
τας ὡς εἰ καὶ βροχὴ κατενεχθείη ἐκ τοιούτων νεφῶν, πάν-
τως πῦρ ἔσται καὶ φλόξ. καταβαίνουσα ὡς πάλαι τὰ Σό-
δομα· πάντων δὲ τῶν ἱερέων καὶ τῶν λαϊκῶν μετὰ δα-
κρύων προσφυγόντων ταῖς ἐκκλησίαις· καὶ τὸν θ(εὸ)ν καὶ
τὴν πανάχραντον θ(εοτό)κον δυσωπούντων. ὁ μὴ θέλων τὸν
θάνατον τῶν ἁμαρτωλῶν φιλάνθρωπος κ(ύριο)ς· κεράσας τῇ τι-
μωρίᾳ τὴν ἀγαθότητα. ἐκέλευσε ταῖς νεφέλαις βρέ-
χειν ὑετὸν παράδοξον· ἀπὸ γὰρ τῆς ἑσπέρας ἤρξατο. καὶ
μέχρι μεσονυκτίου ἔβρεχε· τὸ δὲ κατερχόμενον ἦν ὡς ἀκτὴ
ζέουσα ὡς ἀνθρακιά· ἥτις καὶ κατέκαυσε πάντα τὰ φυ-
τά· ἐπὶ τῶν κεράμων τεθεῖσα τοῦ [illegible] σπιθαμή

164

Μηνὶ τῷ αὐτῷ ζ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀντωνίου καὶ τῶν γονέων αὐτοῦ Μελασίππου καὶ Κασίνης.

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς τυραννίδος Ἰουλιανοῦ τοῦ παραβάτου ἐν Ἀγκύρᾳ τῇ πόλει· ἐκρατήθησαν δὲ παρ' αὐτοῦ. Καὶ ὁ μὲν Ἀντώνιος εἰς φυλακὴν ἐμβάλλεται· οἱ δὲ γονεῖς αὐτοῦ κρεμασθέντες ἐξέοντο καὶ πυρὶ κατεκαίοντο. Εἶτα ἡ μὲν Κασίνη τέμνεται τοὺς μαστούς· ὁ δὲ Μελάσιππος τοὺς πόδας ἀπὸ τῶν γονάτων. Ἀχθεὶς δὲ καὶ ὁ Ἀντώνιος, καὶ ἰδὼν τοὺς γονεῖς αὐτοῦ κρεμαμένους καὶ τὰ ἐκκοπέντα μέλη αὐτῶν ἐπὶ γῆς κείμενα, κατεφίλησεν αὐτά· καὶ λαβὼν ἐκ τοῦ ἀποστάζοντος αἵματος, ἤλειφεν ἑαυτόν. Κρεμάμενοι δὲ οἱ γονεῖς αὐτοῦ πρὸς κύριον ἐξεδήμησαν. Ὁ δὲ Ἀντώνιος χρόνων δεκατριῶν ὑπάρχων, ἐμπτύσας εἰς τὸ πρόσωπον τοῦ παραβάτου, κρεμασθεὶς ξέεται καὶ τρυπᾶται τοὺς ἀστραγάλους· καὶ ξυρᾶται τὴν κεφαλήν· εἶτα πέμπεται Ἀγριππίνῳ τῷ δουκί· καὶ εἰς φοῦρνον ἐμβληθεὶς ἐξῆλθεν ὑγιής. Ἰδόντα δὲ αὐτὸν παιδία τεσσαράκοντα ἐπίστευσαν. Καὶ σὺν αὐτῷ προθύμως τὸ διὰ τοῦ ξίφους τέλος ἐδέξαντο.

7 Nov. [illegible] et parentum eius Melasippi et Cassinae Mart.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ τριάκοντα δύο μαρτύρων. τῶν ἐν Μελιτινῇ μαρτυρησάντων·

Οἱ ἅγιοι μάρτυρες· Ἱέρων· Νίκανδρος· Ἡσύχιος· καὶ οἱ σὺν αὐτοῖς ἕτεροι τριάκοντα. ἐπὶ τῆς ἀρχῆς ἦσαν Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ τῶν παρανόμων βασιλέων. ἐν Μελιτινῇ πόλει τῆς Ἀρμενίας· διωγμοῦ δὲ καθολικοῦ γενομένου κατὰ τῶν χριστιανῶν· καὶ πανταχοῦ ἀναιρουμένων. ἐκρατήθησαν καὶ αὐτοὶ παρὰ τοῦ τῆς Μελιτινῆς ἡγεμόνος· καὶ πολλὰ τιμωρηθέντες ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς ἀκαθάρτοις εἰδώλοις· καὶ μὴ πεισθέντες τοῦτο ποιῆσαι· ἀλλὰ μᾶλλον μεγάλῃ τῇ φωνῇ τὸν Χριστὸν ὁμολογήσαντες Θεὸν εἶναι ἀληθινὸν καὶ δημιουργὸν οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ἐν αὐτοῖς. πρῶτον μὲν γυμνωθέντες ἐτύφθησαν. ἕως ἐφάνη πάντα τὰ σπλάγχνα αὐτῶν· ἔπειτα ἀπεκλείσθησαν ἐν τῇ φυλακῇ. πάσης ἐνδείας ἐστερημένοι· καὶ μετὰ τὸ ταλαιπωρηθῆναι ἱκανῶς· ἐκβληθέντες τῆς φυλακῆς· καὶ πάλιν ἀναγκασθέντες θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες· ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν·

7 Nov. Hieronis et cum eis 33

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων Αὔκτου. Ταυρίωνος. καὶ Θεσσαλονίκης.

Ἡ μάρτυς τοῦ Χριστοῦ Θεσσαλονίκη. ὑπῆρχε θυγάτηρ Κλέωνός τινος ἱερέως τῶν εἰδώλων· χριστιανὴ δὲ γενομένη. ἵνα μὴ καταστῇ παρ' αὐτοῦ πρὸς ἄρνησιν τοῦ Χριστοῦ· μὴ πεισθεῖσα δὲ, γυμνωθεῖσα τύπτεται σφοδρῶς· καὶ σχοινίοις τὰς πλευρὰς συντρίβεται· εἶτα ἐκδιώκεται τῆς πατρικῆς οὐσίας· καὶ μείνασα ἐν κτήματι μικρῷ αὐτῆς ἐκ τῆς μητρῴας κληρονομίας, ἐκεῖ κατῴκει· ἰδόντες δὲ τὸ γινόμενον ἄνδρες δύο χριστιανοὶ ἀδελφοί· Αὖκτος καὶ Ταυρίων καλούμενοι, ἠγανάκτησαν κατὰ τοῦ Κλέωνος· ὁ δὲ διαβάλλει αὐτοὺς τῷ τῆς χώρας ἄρχοντι· καὶ κρατηθέντες τύπτονται· εἶτα λιθοβολοῦνται καὶ εἰς πῦρ ἐμβάλλονται· καὶ ἐξελθόντες, κατατοξεύονται· καὶ αὖθις εἰς λίμνην ῥίπτονται· καὶ ἐξελθόντες, ἀποκεφαλίζονται· ἡ δὲ Θεσσαλονίκη μετὰ ταῦτα τὸν Χριστὸν ὁμολογεῖν μὴ παυσαμένη, ἐν εἰρήνῃ ἐτελειώθη· τὸ δὲ τίμιον αὐτῆς λείψανον κατετέθη ἐν Ἀμφιπόλει μετὰ τῶν μαρτύρων. ἐντίμως καὶ μεγαλοπρεπῶς·

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τῆς ὁσίας Ματρώνης

Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου· ὡρμᾶτο δὲ ἐκ Πέργης τῆς Παμφυλίας· συναφθεῖσα δὲ ἀνδρὶ καὶ γεννήσασα μίαν θυγατέρα, ἔρχεται ἐν Κωνσταντινουπόλει μετὰ τοῦ οἰκείου ἀνδρός. [illegible] Καὶ γενομένη συνήθης παρθένῳ τινὶ ὀνόματι Εὐγενίᾳ· καὶ τὴν αὐτῆς ζηλώσασα πολιτείαν, οὐκ ἀφίστατο τῶν ἐκκλησιῶν τοῦ θεοῦ· ἔχουσα δὲ τὸν πρὸς θεὸν ἔρωτα αὐτῆς θερμότερον. Καὶ ἀκούσασα τοῦ θείου εὐαγγελίου· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν ἀρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. τὴν μὲν θυγατέρα παρέδωκε γυναικί τινι εὐλαβεῖ μένειν παρ' ἐκείνῃ ἕως ἀνατραφῇ· τὸν δὲ ἄνδρα καταλιποῦσα καὶ σχήματι ἀνδρικῷ ἐνδυσαμένη, ἀπῆλθεν εἰς τὴν μονὴν τοῦ ὁσίου Βασσιανοῦ. καὶ ἐκεῖ γενομένη μοναχή, εἶτα γνωσθεῖσα γυνὴ εἶναι, πέμπεται εἰς Ἱεροσόλυμα παρ' αὐτοῦ τοῦ ὁσίου· καὶ μετὰ χρόνους ἐλθοῦσα πάλιν εἰς Κωνσταντινούπολιν καὶ ἰδίως ἡσυχάσασα, ἐτελειώθη.

Μηνὶ τῷ αὐτῷ θ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Θεσσαλονίκῃ·

Ἀλέξανδρος ὁ μάρτυς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· καὶ κρατηθεὶς ἠναγκάσθη θῦσαι τοῖς εἰδώλοις· ὁ δὲ μὴ πεισθεὶς ἀλλὰ μᾶλλον θείῳ ζήλῳ κινηθεὶς καὶ ἰδὼν τὴν τράπεζαν τῶν θυσιῶν ἑτοιμασμένην· ὁρμήσας καὶ τῷ ποδὶ κρούσας ἀνέτρεψεν αὐτήν. καὶ τὰς θυσίας ἐξέχεε· καὶ ὀργισθεὶς ὁ Μαξιμιανὸς· ἐδόκει τὴν κατ' αὐτοῦ ἀπόφασιν τοῦ διὰ ξίφους ἀποθανεῖν· καὶ λαβὼν αὐτὸν ὁ σπεκουλάτωρ καὶ ἐκβαλὼν τὸ ξίφος πρὸς τὸ ἀποκεφαλίσαι, ἵστατο ἐκπεπληγμένος· καὶ εἶπεν ὁ βασιλεὺς πρὸς αὐτόν· τί ἕστηκας καὶ οὐ πληροῖς τὸ προσταχθέν σοι· ὁ δὲ ἔφη· ὀπτασίαν θεωρῶ καὶ εἰμὶ ἔντρομος· αἰτησάμενος δὲ ὁ ἅγιος ὥραν προσευχῆς καὶ λαβὼν. ηὔξατο· καὶ οὕτως ἐπλήγη ὑπὸ τοῦ σπεκουλάτορος· εἶδε δὲ ὁ βασιλεὺς τέσσαρας ἀγγέλους ὀψικεύοντας τὴν ψυχὴν τοῦ ἁγίου· καὶ διὰ τοῦτο δέδωκε τοῖς αἰτησαμένοις θάψαι τὸ λείψανον αὐτοῦ ἐν πόλει Θεσσαλονίκῃ·

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντωνίνου.

Ἀντωνῖνος ὁ μάρτυς. ὑπῆρχεν ἐκ τῆς τῶν σύρων χώρας. λιθοτόμος τὴν τέχνην· ἰδὼν δὲ τοὺς ἕλληνας ἀπερχομένους εἰς τὸν ναὸν τῶν εἰδώλων· καὶ θύοντας τοῖς εἰδώλοις. παρῄνεσεν αὐτοῖς ἀποσχέσθαι αὐτῶν· ὡς δὲ οὐκ εἰσηκούσθη. λυπηθεὶς ἀνεχώρησεν εἰς ἔρημον τόπον· καὶ εὑρίσκει δοῦλον τοῦ θεοῦ ἀναχωρητὴν ὀνόματι θεότιμον· καὶ σὺν αὐτῷ διατρίψας ἔτη δύο· καὶ μαθὼν τὰς εὐχὰς αὐτοῦ. κατῆλθε πάλιν πρὸς τὸν πεπλανημένον λαὸν τοῦ χωρίου αὐτοῦ· καὶ εὑρὼν αὐτοὺς ἑορτὴν ἐπιτελοῦντας τοῖς δαίμοσιν. εἰσελθὼν εἰς τὸν ναὸν αὐτῶν. συνέτριψε πάντα τὰ εἴδωλα· εἶτα κρατηθεὶς καὶ τυφθεὶς ἰσχυρῶς. ἀπῆλθεν εἰς ἀπάμειαν τῆς συρίας· καὶ δεηθεὶς τοῦ ὁσιωτάτου ἐπισκόπου, λαβεῖν ἐξουσίαν τοῦ κτίσαι ναὸν ἐπ' ὀνόματι τῆς ἁγίας τριάδος. ἤρξατο κτίζειν· καὶ τοῦτο μαθόντες οἱ συγχωρῖται αὐτοῦ· νυκτὸς ἐπιτεθέντες τοῖς ξίφεσι μεληδὸν κατέκοψαν· καὶ οὕτω τὸ πνεῦμα τῷ θεῷ παρέθετο.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου.

Ὁ μάρτυς Ὀρέστης ἦν ἐκ τῆς πόλεως Τυάνων, χώρας Καππαδοκίας· καταφρονῶν δὲ τῶν εἰδώλων καὶ τὸν Χ(ριστὸ)ν παρρησίᾳ κηρύττων, ἐκρατήθη παρὰ Μαξίμου ἐπὶ Διοκλητιανοῦ βασιλέως προκεχειρισμένου ἡγεμόνος τῆς χώρας. Καὶ ἀναγκασθεὶς προσκυνῆσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθείς, ἐτύπτετο μετὰ ῥαβδίων ἰσχυρῶς ἕως ἐφάνη τὰ ἔσωθεν τῶν σπλάγχνων αὐτοῦ. Μετὰ δὲ τὸ τυφθῆναι, ἀπαχθεὶς εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ πάλιν κατηναγκάζετο προσκυνῆσαι αὐτοῖς· ὁ δὲ τὸν Χ(ριστὸ)ν ἐπικαλούμενος, ἐμφυσήσας εἰς τὰ εἴδωλα, συνέτριψεν αὐτὰ καὶ ἐγένοντο ὡσεὶ κονιορτόν. Καὶ τότε παρεδόθη τῇ φυλακῇ· καὶ μετὰ ἑπτὰ ἡμέρας ἐκβληθεὶς τῆς φυλακῆς, παρέστη τῷ Μαξίμῳ· καὶ πάλιν ἠναγκάζετο θύειν· καὶ μὴ πεισθείς, ἥλοις μακροῖς ἐτρυπήθη τοὺς ἀστραγάλους· καὶ προσδεθεὶς σὺν ἵππῳ ἀγρίῳ μετὰ ἁλύσεων τρέχοντι, συρεὶς μίλια εἴκοσι τέσσαρα ἀπὸ τῆς πόλεως Τυάνων, παρέδωκε τὸ πνεῦμα.

Μηνὶ τῷ αὐτῷ ι΄. ἄθλησις τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο΄· Ὀλυμπᾶ, Ῥωδίωνος, Σωσιπάτρου, Τερτίου, Ἐράστου καὶ Κουάρτου.

Οὗτοι οἱ ἅγιοι ἀπόστολοι· ὁ μὲν Ὀλυμπᾶς καὶ ὁ Ῥωδίων
ἀκολουθοῦντες τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ, ἀμφότεροι ἐν
Ῥώμῃ τῇ πόλει ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθη-
σαν· ὁ δὲ Σωσίπατρος οὗτινος ἐν τῇ πρὸς Ῥωμαίους
ἐπιστολῇ ὁ ἅγιος ἀπόστολος μέμνηται Παῦλος· ἐπίσκο-
πος Ἰκονίου γενόμενος, ἐν εἰρήνῃ ἐτελειώθη· ὁ δὲ Τέρ-
τιος ὁ καὶ τὴν πρὸς Ῥωμαίους γράψας ἐπιστολὴν ὑπὸ
τοῦ ἁγίου Παύλου ἐκδοθεῖσαν μετὰ Σωσίπατρον, δεύτε-
ρος ἐπίσκοπος Ἰκονίου γενόμενος, πρὸς Κύριον ἐξεδήμη-
σεν· ὁ δὲ Ἔραστος οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ μέ-
μνηται ὁ ἅγιος Παῦλος· οἰκονόμος τῆς ἐν Ἱεροσολύ-
μοις ἐκκλησίας γενόμενος· καὶ μετὰ ταῦτα ἐπίσκοπος
Πανεάδος, ἐν εἰρήνῃ ἐτελειώθη· ὁ δὲ Κούαρτος
ἐπίσκοπος τῆς πόλεως Βηρυτοῦ γενόμενος· καὶ πολ-
λὰ παθὼν ὑπὲρ τῆς εὐσεβείας· πλείστους τε τῶν Ἑλλή-
νων ἐπιστρέψας ἐπὶ τὸν Κύριον, τέλει ὁσίου ἐχρήσατο.

Μηνὶ τῷ αὐτῷ ια΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος, Βικεντίου καὶ Στεφανίδος.

Οὗτος ὁ ἅγιος μεγαλομάρτυς Μηνᾶς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ
τοῦ βασιλέως, ἐκ τῆς Αἰγυπτίων χώρας, στρατιώτης τῶν
τοῦ νουμέρου, ἐν Κοτυαείῳ πόλει Φρυγίας. γνωσθεὶς
δὲ χριστιανὸς εἶναι, τύπτεται σφοδρῶς καὶ ξέεται· καὶ μετὰ
ταῦτα πυρὶ καταφλέγεται· καὶ σύρεται ἐπάνω τριβόλων,
ὕστερον εἶτα τὴν διὰ ξίφους δέχεται τελευτήν. Ὁ δὲ ἅγιος Βί-
κτωρ ὑπῆρχεν ἐπὶ Ἀντωνίνου βασιλέως καὶ Σεβαστιανοῦ
δουκὸς ἐν Ἰταλίᾳ· κρατηθεὶς δὲ καὶ ἀναγκασθεὶς ἀρνήσασθαι
τὸν Χριστὸν καὶ μὴ πεισθείς, ἐξαρθροῦται τοῖς δακτύλοις· καὶ βάλ-
λεται εἰς κάμινον· εἶτα ποτίζεται δηλητήρια φάρμακα παρὰ μάγου.
Καὶ μηδὲν ἀδικηθεὶς ποιεῖ τὸν μάγον χριστιανόν· ὀρυχθεὶς δὲ τοὺς
ὀφθαλμούς, τὴν κεφαλὴν ἀποτέμνεται. ἡ δὲ ἁγία Στεφανὶς ὁρῶσα ταῦ-
τα καὶ μακαρίσασα τὸν ἅγιον, ἐκρατήθη· καὶ δεθεῖσα δυσὶ φοίνιξιν ἐπικλι-
θεῖσιν ἀλλήλοις, εἶτα ἀπολυθεῖσι, διεμερίσθη εἰς δύο. Ὁ δὲ ἅγιος Βικέν-
τιος κατὰ ταύτην τὴν ἡμέραν κρατηθεὶς ὡς χριστιανὸς ἐν Αὐγουστίᾳ
τῇ πόλει παρὰ τοῦ τῆς πόλεως ἄρχοντος, τὴν κεφαλὴν ἀπετμήθη.

11 9me. Mene, Victores Vincenty et Stefanedes [illegible]

174

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τῶν Στουδίου·

Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου· ἦν οὗ-
τος ἐν Κωνσταντίνου πόλει γεννηθείς· πᾶσαν δὲ γνῶσιν
τῶν μαθημάτων ἐκμαθὼν ἐπὶ τῆς βασιλείας Εἰρήνης·
ἀποβαλὼν μὲν τὸ τοῦ σακελλίου ἀξίωμα· ὑπὸ τοῦ θείου
αὐτοῦ Πλάτωνος γέγονε μοναχός· καὶ παρὰ Ταρασίου πα-
τριάρχου χειροτονεῖται πρεσβύτερος· εἶτα τριάκοντα
ἔτης ὢν γίνεται καὶ ἡγούμενος τῆς αὐτῶν μονῆς· ἐξω-
ρίσθη δὲ εἰς Θεσσαλονίκην διὰ τὸ μὴ συνθέσθαι τῇ μοιχείᾳ
τοῦ βασιλέως· ἀλλ' ἀνεκλήθη πάλιν παρὰ τῆς βασιλί-
σσης Εἰρήνης· καὶ διὰ τὴν τῶν Σαρακηνῶν ἔφοδον τὴν βα-
σιλεύουσαν καταλαμβάνει. καὶ τὴν μονὴν τοῦ Στουδίου παρα-
λαμβάνει· καὶ πάλιν ἐξορίζεται παρὰ Νικηφόρου βασιλέως·
τοῦ ἀφέντος ἐν Βουλγαρίᾳ ἐπὶ τῇ ὁμοίᾳ ὑποθέσει· εἶτα ἐξορίζεται
διὰ τὰς ἁγίας εἰκόνας ἐπὶ Λέοντος τοῦ εἰκονομάχου· καὶ πολλὰ
τιμωρηθεὶς ὑπὲρ τῆς εὐσεβείας καὶ ἀγωνισάμενος· καὶ ἐμμόνως εἰς
θεὸν ἀνατεινάμενος· ἐν βαθυτάτῳ γήρᾳ πρὸς κύριον ἐξεδήμησεν·

Μηνὶ τῷ αὐτῷ ιβ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Μαρτίνου ἐπισκόπου Φραγγίας ⁘

Οὗτος ἦν ἐπὶ Γρατιανοῦ βασιλέως· ἐκ τῆς Ῥώμης· στρατηλά-
της πρότερον ὑπάρχων· ποτὲ δὲ ἐν πολέμῳ ἰδὼν πλῆθος
ἄπειρον· ἐδειλίασε· καὶ θεασάμενος πτωχὸν γυμνόν· κό-
ψας τὸ ἥμισυ τῆς χλαμύδος αὐτοῦ· δέδωκεν αὐτῷ· καὶ τῇ
αὐτῇ νυκτὶ παρέστη αὐτῷ ὁ κ(ύριο)ς· ἐν εἴδει τοῦ πτωχοῦ λέγων· μὴ
ἀθύμει· ὥσπερ οὖν γυμνόν οὐ παρεῖδές με· οὕτω κἀγὼ ἔσομαι
μετὰ σοῦ καὶ νικήσεις τοὺς ἐχθρούς σου· νικήσας οὖν καὶ
ἀποδεχθεὶς παρὰ τοῦ βασιλέως· εὐχαριστήσας τῷ θ(ε)ῷ· γε-
γονεν μοναχός· ἕβδομον δὲ διανύσας χρόνον· καὶ πᾶσαν
γραφὴν μελετήσας· χειροτονεῖται ἐπίσκοπος Φραγγίας·
καὶ ἐποίει θαύματα πολλά· ἐν μιᾷ γὰρ εἶδε δαίμονα ἐπὶ μνῆμα
τινὸς τεθνεῶτος· καὶ μὴ συγχωροῦντα ταφῆναι· ἀλλὰ λέγον-
τα ὅτι χρεωστεῖ μοι οὗτος χρυσίον· καὶ τῆς γυναικὸς τοῦ θα-
νόντος λεγούσης ὅτι ἐπληρώθη· προσευξάμενος ὁ ἅγιος ἀνέ-
στησε τὸν νεκρόν· καὶ ἔδειξε τὸν συκοφάντην ψευδόμε-
νον· ποιήσας δὲ καὶ ἕτερα θαύματα πολλά· ἐτελειώθη ⁘

12. Nov. Martini Epi Phrangiae

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰω(άννου) τοῦ ἐλεήμονος πατριάρχου Ἀλεξανδρείας.

Κύπριος ἦν οὗτος τὸ γένος· υἱὸς Ἐπιφανίου τοῦ τότε τῆς νήσου ἄρχοντος· γυναικὶ δὲ προσομιλήσας κατὰ βούλησιν τοῦ π(ατ)ρ(ὸ)ς, καὶ τέκνων πατὴρ γενόμενος· ἐπεὶ τὸν κοινὸν ἀπεβίωσαν ἥ τε γυνὴ καὶ τὰ τέκνα αὐτοῦ· πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς Θ(εο)ῦ ἀρέσκειαν ἔτρεψε· καὶ διὰ λαμπρότητα βίου· ὑπὸ Ἡρακλείου τοῦ βασιλέως· αἰτησαμένου τοῦ δήμου τῶν Ἀλεξανδρέων αὐτόν, πατριάρχης Ἀλεξανδρείας καθίσταται· κανονικῶς τὴν χειροτονίαν δεξάμενος· διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλά· καὶ μυρία ποιήσας θαύματα· καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας τὰ πρὸς τὴν χρείαν· καὶ διὰ τὴν πολλὴν ἐλεημοσύνην· τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν [illegible]· καὶ πᾶσιν αἰδέσιμος καταστάς, ὡς ὁ περὶ αὐτοῦ βίος κατὰ πλάτος δηλοῖ· καὶ πολλοὺς [illegible] ἐπὶ τὸν κ(ύριο)ν. ἐν γήρᾳ καλῷ τὴν ψυχὴν ἀφεὶς, πρὸς [illegible] ἀνέδραμε χαίρων.

Joannes Eleemosynarius [illegible]

Μηνὶ τῷ αὐτῷ ιγ'. ἡ ἀνάμνησις τῆς ἐξορίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου·

Ἐπιτελεῖται ἡ μνήμη αὕτη ἡμῖν ἀντὶ τῆς κοιμήσεως αὐ-
τοῦ, διὰ τὸ ταύτην ἐν τῇ ὑψώσει τοῦ τιμίου συμβαίνειν
σ(ταυ)ροῦ· οὗτος δὲ ὑπῆρχεν ἐκ πόλεως Ἀντιοχείας τῆς
Συρίας· αὐτὸς οὖν ἐν ἀρχῇ τοῦ νέου, πολὺν περὶ τοὺς
λόγους ἐκτήσατο ἔρωτα· καὶ μαθὼν ἐν τάχει πᾶ-
σαν γραφὴν ἑλλήνων τε καὶ χριστιανῶν· καὶ δι' ἀρετήν,
παρὰ μὲν Μελετίου πατριάρχου Ἀντιοχείας γίνεται
κληρικός· παρὰ δὲ Φλαβιανοῦ, διάκονος καὶ πρε-
σβύτερος· πᾶσαν δὲ τὴν ἁγίαν ἑρμηνεύσας γραφήν·
ἐπεὶ Νεκτάριος ὁ τῆς Κωνσταντίνου πόλεως πα-
τριάρχης τὸν βίον ἀπέλιπε, ψήφῳ τῶν ἐπισκό-
πων, καὶ τῇ τοῦ βασιλέως Ἀρκαδίου προστάξει, ἐκ
τῆς Ἀντιοχείας μετακληθείς, ἀρχιερεὺς τῆς βασιλίδος
καθίσταται πόλεως· τὴν πλεονεξίαν δὲ ἐλέγχων, προ-
σέκρουσε τῇ βασιλίδι Εὐδοξίᾳ· καὶ ὑπ' ἐκείνης ἀδίκως
ἐξορισθεὶς ἐν Κουκουσῷ τῆς Ἀρμενίας, ἐκεῖ τελειοῦται·

13 Nov. *Ioannis Chrysostomi p. H. ex antiochia* [illegible]

179

Τῇ αὐτῇ ἡμέρᾳ. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μίλη ἐπισκόπου καὶ τῶν μαθητῶν αὐτοῦ Ἐβορῆ πάπα καὶ Σεβοηθᾶ διακόνου.

Οὗτοι ὑπῆρχον ἐκ Περσίδος. ὁ δὲ ἅγιος Μίλης στρατηγὸς τὸ πρότερον ὤν, καταλιπὼν δὲ τὸ στρατεύειν καὶ τῷ θεῷ δουλεύσας, προεχειρίσθη ἐπίσκοπος ἐν πόλει Περσικῇ, ἐν ᾗ ὁ προφήτης Δανιὴλ τὰς ὀπτασίας ἐθεάσατο. διωχθεὶς δὲ ὑπὸ τῶν ἀπίστων ἐκεῖθεν, ἦλθεν εἰς Ἱεροσόλυμα· εἶτα εἰς Ἀλεξάνδρειαν, πρὸς τὸν μακάριον Ἀντώνιον. καὶ αὖθις ὑποστρέψας ἐν Περσίδι, ἐνθάδε παρὰ Μισθοφάρη τοῦ βασιλίσκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ξίφει κατὰ καρδίας πληγεὶς τελειοῦται, διὰ τὸ μὴ θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί. ἔτι δὲ ἐμπνέων, ἔφη πρὸς τὸν βασιλίσκον καὶ τὸν ἀδελφὸν αὐτοῦ, ὅτι αὔριον κατὰ τὴν αὐτὴν ὥραν ὑπ' ἀλλήλων φονευθήσεσθε. ταῦτα εἰπόντος, ὀργισθέντες ὅ τε βασιλίσκος καὶ ὁ ἀδελφὸς αὐτοῦ, μετὰ ξύλων τύπτοντες ἀμφοτέρους τοὺς μαθητὰς τοῦ ἁγίου ἐφόνευσαν. καὶ οὕτως παρέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ. κατὰ δὲ τὴν πρόρρησιν τοῦ ἁγίου, μανέντες οἱ δύο ἀδελφοὶ κατ' ἀλλήλων, ἀλλήλους ἐφόνευσαν.

13 Nov.

✠ Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τῶν ἁγίων μαρτύρων·
Ἀντωνίνου· Νικηφόρου· Γερμανοῦ· κ(αὶ) τῆς συνο-
δίας αὐτῶν·

Ἀντωνῖνος ὁ μάρτυς· ὑπὲρ ξ´ τὴν ἡλικίαν προβεβηκώς·
ὁ δὲ Νικηφόρος καὶ ὁ Γερμανὸς νέοι· κρατηθέντες δὲ ὑπὸ
τοῦ τῆς χώρας ἄρχοντος καὶ καταναγκασθέντες θῦσαι
τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες· ἀλλ' ὁμολογοῦντες τὸν
χ(ριστὸ)ν· τὰς κεφαλὰς ἐν Καισαρείᾳ ἀπετμήθησαν· παρθέ-
νος δέ τις Μανεθὼ ὀνομαζομένη· ὑπὲρ χ(ριστο)ῦ ἐκ Σκυθοπόλεως·
καὶ κρατηθεῖσα· καὶ ἀνὰ πᾶσαν τὴν πόλιν θριαμβευ-
θεῖσα γυμνή· εἶτα τιμωρηθεῖσα ἐν διαφόροις τόποις
τοῖς ἱεροῖς ἀσάμοις· καὶ ἐκ πάντων θ(εο)ῦ χάριτι ῥυσθεῖσα·
καὶ ἀβλαβὴς διαμείνασα· μυρία τε θαυματουργήσα-
σα· καὶ πολλοὺς τῶν ἀπίστων κατηχήσασα τὸν λόγον
τοῦ θ(εο)ῦ· καὶ ἐπιπαρρησιασαμένη ἐπὶ τὸν κ(ύριο)ν· τὸ τελευταῖον κατε-
κρίθη πυρὶ τελειωθῆναι· καὶ τῆς καμίνου ἀναφθεί-
σης· ἐξαμένη καὶ εὐχαριστήσασα, εἰσῆλθεν ἐν αὐτῇ·
καὶ ἐν τῇ καμίνῳ ἐπὶ πολλαῖς ταῖς ὥραις προσευχομέ-
νη· τὸ ἱερὸν αὐτῆς παρέθετο πνεῦμα εἰς χεῖρας θ(εο)ῦ ζῶντος·

Μηνὶ τῷ αὐτῷ λα΄. ἡ κοίμησις τοῦ ἐν ἁγίοις πρς ἡμῶν Ὑπατίου τοῦ θαυματουργοῦ. ἐπισκόπου Γαγγρῶν.

Οὗτος ὁ ἅγιος ἦν ἐκ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ Ἀρείου τοῦ ματαιόφρονος. ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου· ἐποίησε δὲ θαύματα πολλά· ἐξ ὧν ἓν ὑπάρχει καὶ τοῦτο· δράκοντος μεγάλου ἐν τῷ ταμείῳ τῶν βασιλικῶν χρημάτων πόθεν εἰσερπύσαντος· καὶ εἰσελθεῖν μὴ συγχωροῦντος τινί. προσεκλήθη παρὰ τοῦ βασιλέως· καὶ ποιήσας εὐχήν. ἐθανάτωσεν αὐτόν· προστάξας ἐν τῷ φόρῳ γενέσθαι πυράν· καὶ ἀπὸ τοῦ ταμείου τὸν δράκοντα ἀγαγὼν· δακόντα τὸ ἄκρον τοῦ ῥαβδίου αὐτοῦ καὶ ἀκολουθοῦντα. καὶ βαλὼν ἐν αὐτῇ καὶ κατακαύσας· ὅθεν ἐν τῇ εἰσόδῳ τοῦ ταμείου ὁ βασιλεὺς τὴν εἰκόνα τοῦ ἁγίου ζωγραφήσας ἐν· ὑποστρέψαντα δὲ εἰς τὴν οἰκείαν ἐκκλησίαν. ἐφόνευσαν οἱ αἱρετικοὶ Ναυατιανοί· γυνὴ γὰρ ῥίψασα λίθον κατὰ κεφαλῆς αὐτοῦ. τῆς ἐνθάδε μὲν ζωῆς ἀπήλλαξε· πρόξενος δὲ αὐτῷ βασιλείαν οὐρανῶν:·

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου ἀποστόλου Φιλίππου ἑνὸς τῶν δώδεκα ἀποστόλων·

Φίλιππος ὁ εἷς τῶν δώδεκα ἀποστόλων ἦν ἐκ τῆς Γα-
λιλαίας. ἀπὸ Βηθσαϊδά. μετὰ δὲ τὴν ἀνάληψιν τοῦ
Κυ. πολλὰ θαύματα ποιήσας. ἐπὶ Τραϊανοῦ τοῦ βα-
σιλέως παρεγένετο καὶ εἰς Ἱεράπολιν μετὰ τῶν [illegible]
θυγατέρων αὐτοῦ. καὶ Μαριάμνης τῆς ἀδελφῆς αὐτοῦ.
Καὶ Βαρθολομαίου τοῦ ἀποστόλου διδάσκων τὸν λόγον
τοῦ Χυ. καὶ πείθων τοὺς ἀπίστους ἀποστῆναι ἀπὸ τῆς πλά-
νης τῶν εἰδώλων· εἶχον γὰρ ὡς θεὸν τὴν ἔχιδναν· [illegible] καὶ
Νικάνορα ἡ γυνὴ τοῦ ἀνθυπάτου τοῦ καὶ τιμωρήσαντος αὐ-
τούς· εἶτα κρεμᾶται ὁ Βαρθολομαῖος καὶ ὁ Φίλιππος
κατὰ κεφαλῆς ἀπὸ τοῦ τείχους· κρεμαμένου δὲ τοῦ Φι-
λίππου καὶ προσευχομένου. ἐξαίφνης ἠνοίχθη ἡ γῆ καὶ
κατέπιε τοὺς ἀθέους. καὶ τὸν ἀνθύπατον. καὶ τὴν ἔχιδναν.
καὶ τοὺς ἱερεῖς αὐτῆς· εἶτα δι[illegible]σαν. πλὴν τοῦ
ἀνθυπάτου καὶ τῆς ἐχίδνης· ἐλύθη δὲ καὶ Βαρθολομαῖος
καὶ ἡ Μαριάμνη τῶν δεσμῶν· ὁ δὲ Φίλιππος ἐτελειώθη·

14 Nov Philippus ex xij Ap[illegible]

Μηνὶ τῷ αὐτῷ ιε΄. Ἄθλησις τῶν ἁγίων ὁμολογητῶν Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου· μαρτυρησάντων ἐν Ἐδέσσῃ τῇ πόλει.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Ἀντω-
νίνου δουκός. Ὧν τινὶ καὶ διαβληθέντων ὡς τοὺς ἐν τῇ
φυλακῇ Χριστιανοὺς θεραπευόντων· παρέστησαν Γου-
ρίας καὶ Σαμωνᾶς ἐκ τῆς αὐτῆς πόλεως ὄντες. Καὶ ἐν
τάξει ἱερέων ὑπάρχοντες· μὴ πεισθέντες δὲ θῦσαι
τοῖς εἰδώλοις· κρεμῶνται ἕκαστος ἀπὸ τῆς μιᾶς χειρὸς
ἐπὶ πέντε ὥρας· εἶτα κατενεχθέντες· καὶ ἐπιμέ-
νοντες τῇ ὁμολογίᾳ· πάλιν κρεμῶνται ἀπὸ τῶν πο-
δῶν· εἶτα ἐν λάκκῳ σκοτεινῷ ἀμφότεροι βάλλον-
ται· καὶ μετὰ τοῦτο τὰς κεφαλὰς ἀποτέμνονται. Ὁ
δὲ ἅγιος Ἄβιβος διάκονος ὤν, ἐμαρτύρησεν ἐπὶ Λι-
κιννίου· διαβληθεὶς ὅτι κατὰ τὰς κώμας περιερ-
χόμενος ἀναγινώσκει τοῖς πιστοῖς τὰς ἱερὰς
βίβλους, καὶ ἐπιστηρίζων αὐτούς· ὅθεν προστάξει τοῦ
παρανόμου καὶ δυσσεβοῦς βασιλέως εἰς κάμινον φρυ-
γάνοις πολλοῖς ἀναφθεῖσαν ἐμβληθεὶς, χαίρων ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Δημητρίου τοῦ εἰς Δαβουδὴν μαρτυρήσαντος

Ὁ μάρτυς Δημήτριος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων, ἀπὸ χωρίου Δαβουδῆ καλουμένου· ὅστις διαβληθεὶς ὑπὸ τῶν εἰδωλολατρῶν ὡς χριστιανός, ἐκρατήθη ὑπὸ τοῦ ἡγεμόνος Πουπλίου· καὶ ἐρωτηθείς, ἀνεκήρυξε παρρησίᾳ τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν· καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος συνεργούμενος, ἐδίδασκε τοὺς παρεστῶτας περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἀρρήτου οἰκονομίας, καὶ τῆς ὅλης ἀγαθότητος αὐτοῦ καὶ φιλανθρωπίας. Εἶτα τὰ περὶ τῶν εἰδώλων μάταια καὶ σεβάσματα, καὶ ὅτι κωφά εἰσι καὶ αὐτὰ καὶ οἱ σεβόμενοι αὐτά· διὸ εἰς ὀργὴν καὶ θυμὸν κινήσας τὸν ἡγεμόνα, ξίφει τὴν κεφαλὴν ἀποτμηθεὶς ἐτελειώθη, ἀπολαμβάνων τὸν αἰώνιον στέφανον παρὰ Χριστοῦ, ὑπὲρ οὗ ἀθλήσας ἐμαρτύρησε. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἐτάφη παρὰ πιστῶν καὶ εὐλαβῶν ἀνδρῶν, βρύον ἰάματα τοῖς προσερχομένοις αὐτῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ σφαγὴ τοῦ ἁγίου Ἰακώβου.
ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου·

Ἰάκωβος ὁ ἀπόστολος· ὑπῆρχε μὲν ἐκ τῶν δώδεκα ἀ-
ποστόλων· ἦν δὲ ἀδελφὸς τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου·
υἱὸς Ζεβεδαίου τοῦ ἀπὸ τῆς Γαλιλαίας· ὃν ἰδὼν
ὁ κ(ύριο)ς μετὰ Ζεβεδαίου τοῦ π(ατ)ρ(ὸ)ς αὐτῶν παρὰ τὴν λίμνην
Γεννησαρὲτ· καταρτίζοντας τὰ δίκτυα αὐτῶν ὡς ἁλι-
εῖς· ἐκάλεσεν αὐτούς· καὶ εὐθέως ἀφέντες ἅπαντα
καὶ τὸν π(ατέ)ρα αὐτῶν, ἠκολούθησαν αὐτῷ· καὶ ἦσαν πα-
ρ' αὐτῷ μαθητευόμενοι· μετὰ δὲ τὴν ἀνάληψιν τοῦ κ(υρίο)υ
καὶ τὴν κοίμησιν τῆς ἁγίας Θ(εοτό)κου, ὁ μὲν Ἰωάννης κατέ-
λαβε τὴν Ἔφεσον διδάσκων ἐν αὐτῇ· ὁ δὲ Ἰάκωβος ὑ-
πολειφθεὶς εἰς τὰ Ἱεροσόλυμα· καὶ τὰς δώδεκα φυ-
λὰς τοῦ Ἰσραὴλ διδάσκων· εὐαγγελιζόμενος τὸν κ(ύριο)ν ἡμῶν
Ἰ(ησοῦ)ν Χ(ριστό)ν, ἐκρατήθη παρὰ Ἡρώδου τοῦ τετράρχου ἐν Και-
σαρείᾳ τῆς Παλαιστίνης· καὶ ὑπ' αὐτοῦ σφαγεὶς ἐν μα-
χαίρᾳ, ἀνέδραμε πρὸς οὐρανόν· συνομιλήσων τῷ κ(υρί)ῳ
καὶ διδασκάλῳ Χ(ριστ)ῷ τῷ φιλανθρώπῳ Θ(ε)ῷ ἡμῶν·

Μηνὶ τῷ αὐτῷ ιϛ΄. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου·

Ματθαῖος ὁ ἀπόστολος· ὑπῆρχε μὲν καὶ αὐτὸς τῶν δώδεκα
ἀποστόλων εἷς· ἦν δὲ τελώνης· ἀδελφὸς Ἰακώβου· τοῦ ἐ-
πιλεγομένου Ἀλφαίου· καθεζόμενον δὲ αὐτὸν ἐπὶ τὸ τελώ-
νιον ἰδὼν ὁ κ(ύριο)ς διερχόμενος· ἐκάλεσεν ἐλθεῖν ὀπίσω αὐ-
τοῦ· καὶ ἀναστάντα καὶ ἀκολουθήσαντα· ἐποίησεν καὶ
αὐτὸν μαθητήν· ὅστις μετὰ τὴν τοῦ κ(υρίο)υ ἀνάληψιν· καὶ
μετὰ τὸ ὀκτὼ παρελθεῖν ἔτη· συνεγράψατο τὸ κατ' αὐ-
τὸν ἐπώνυμον αὐτοῦ ἅγιον εὐαγγέλιον τῇ ἑβραΐδι
διαλέκτῳ. καὶ παρέδωκεν αὐτὸ τῇ ἐν Ἱεροσολύμοις
ἁγίᾳ ἐκκλησίᾳ· εἶτα ἀπῆλθεν εἰς πολλὰς ἐθνῶν
χώρας· διδάσκων τὸν λόγον τοῦ Χ(ριστο)ῦ· ἔτι δὲ καὶ εἰς τοὺς
ἀνθρωποκτόνους· οἵτινες λέγουσιν ἀνθρωποφά-
γοι· ἐν οἷς πολλὰ βασανισθεὶς· καὶ ἐπίσκοπον
ποιήσας Πλάτωνα λεγόμενον· καὶ καταλιπὼν ἐκεῖ-
σε, ἀπῆλθεν εἰς Ἱεράπολιν τῆς Συρίας· καὶ διδάξας
πολλοὺς τὸν λόγον τοῦ Χ(ριστο)ῦ καὶ βαπτίσας· τελειοῦται·

16 Nov. Mathei Apli et Evang.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Βαρλαάμ·

Βαρλαὰμ ὁ μάρτυς· ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας·
γέρων μὲν τὴν ἡλικίαν ὑπάρχων. διὰ τὴν εἰς Χριστὸν ὁμολο-
γίαν προσηνέχθη τῷ ἄρχοντι· καὶ μὴ πεισθεὶς θῦσαι τοῖς
εἰδώλοις· τύπτεται μετὰ νεύρων ὠμῶν· καὶ τοὺς ὄνυχας ἐκ-
ριζοῦται· εἶτα τῷ βωμῷ προσαχθεὶς, καὶ ὡς ἡπλώ-
θη τὴν χεῖρα· καὶ πῦρ ἐπ' αὐτῇ καὶ λίβανον ἐπ' αὐτὸν δέξασθαι·
ἐνόμισε γὰρ ὁ ἄρχων· ὅτι εἰ τοσούτους ἄνθρακας μετὰ τοῦ λιβά-
νου τοῦ βωμοῦ ἐπιρρίψει. δόξει θυσίαν προσάγειν τοῖς
θεοῖς· ὁ δὲ ἀνενδότως ἵστατο καὶ ἄτρεπτος· ἐν τοσούτῳ παρ'
αὐτῷ χαλκοῦ καὶ σιδήρου φανείσης τῆς δεξιᾶς· ἕως τὴν
ὑποκειμένην σάρκα τὸ πῦρ δαπανῆσαν. εἰς τὴν γῆν ἐξέ-
πεσε· διατρυπηθείσης αὐτοῦ τῆς χειρός· καὶ τούτου γενο-
μένου. οὐδὲ ὅλως ἐπεστράφη πρὸς τὸν βωμόν· ἀλλ' ἠρετί-
σατο κατακαῆναι τὴν χεῖρα, ἢ λίβανον τῷ βωμῷ
ἐμβαλεῖν· καὶ οὕτω μετὰ γενναίου καὶ ἀρρένου φρονή-
ματος· παρέδωκε τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ·

μηνὶ τῷ αὐτῷ ιζ΄. μνήμη τοῦ ἐν ἁγίοις πρς ἡμῶν Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ:

Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως· υἱὸς ὑπάρχων Ἑλλήνων· αὐτὸς δὲ γενόμενος χριστιανὸς· καὶ τὸ τῆς πίστεως μυστήριον διδαχθεὶς δι' ὀπτασίας παρὰ τῆς ὑπεραγίας Θεοτόκου· καὶ τοῦ θεολόγου Ἰωάννου. ἔλαβε καὶ τὸ τῶν θαυματουργιῶν χάρισμα· καὶ ἐκλήθη θαυματουργὸς ποιῶν θαύματα πολλά· ἐξ ὧν εἰσὶ καὶ ταῦτα· εἰς γὰρ ἀλεξάνδρειαν ἀπελθών· καὶ κατηγορηθεὶς ὑπὸ πόρνης· ἐπιπέμπει αὐτῇ δαίμονα· καὶ πάλιν ἰᾶται· εἶτα μὴ παρὼν ἐν ἀμασείᾳ· ὅμως διὰ τὴν αὐτοῦ ἀρετὴν χειροτονεῖται ἐπίσκοπος ὑπὸ Φαιδίμου τοῦ ἀμασείας· λίθον δὲ μέγαν ποιήσας περιπατῆσαι· ἐβάπτισε τὸν προσμονάριον τῶν εἰδώλων· ἀδελφῶν δὲ δύο διὰ λίμνην μαχομένων· ἐξήρανεν αὐτήν· καὶ τὴν ῥάβδον πήξας· ἔστησε ποταμὸν· ἥτις καὶ ἐγένετο εἰς δένδρον μέγα· καὶ ἄλλα μυρία ποιήσας ἐν τῷ μέλλειν ἐκδημεῖν εὐχαριστεῖ τῷ Θεῷ· ὅτι ἐν τῇ αὐτοῦ πόλει τοσούτους ἀπίστους κατέλιπεν· ὅσους εὗρε χριστιανούς· καὶ οὕτως ἐτελειώθη:

✠ μηνὶ τῷ αὐτῷ ιη΄. ἄθλησις τοῦ ἁγίου μάρτυρος Πλάτωνος :

Πλάτων ὁ μάρτυς ὑπῆρχεν ἀπὸ Ἀγκύρας τῆς Γαλατίας· ἀδελφὸς τοῦ ἁγίου μάρτυρος Ἀντιόχου· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, κρατηθεὶς παρὰ Ἀγριππίνου τοῦ ἡγεμόνος, ἔτι νέος ὢν τὴν ἡλικίαν· καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, τύπτεται ὑπὸ δώδεκα στρατιωτῶν μετὰ ῥαβδίων· καὶ πάλιν ἁπλωθεὶς ἐπὶ κραβάττου σιδηροῦ πεπυρακτωμένου, ῥαβδίζεται· καὶ σφαίραις σιδηραῖς πεπυρακτωμέναις τὰς μασχάλας καὶ τὰς πλευρὰς καταφλέγεται· ὡς καὶ τὴν φλόγα διὰ τῶν ῥινῶν αὐτοῦ σὺν καπνῷ ἐξερχομένην ὁρᾶσθαι· εἶτα ἐλωροτομηθῆναι ἀπὸ τῆς κεφαλῆς μέχρι τῶν πτερνῶν τὰς ψύας αὐτοῦ· ἐξ ὧν μίαν ὁ ἅγιος ἐμμαλῶρον ἀπέρριψε εἰς τὸ πρόσωπον Ἀγριππίνου· διελέγχων αὐτοῦ τὴν ὠμότητα· εἶτα ἐμβάλλεται εἰς φυλακήν. καὶ μένει ἐκεῖ ἡμέρας ὀκτώ· τοῖς δὲ προσφέρουσιν αὐτῷ ἄρτον καὶ λέγουσιν ὅτι φάγε καὶ χλευάζουσιν, ἀπεκρίνατο· ἐμὲ τρέφει ὁ λόγος τοῦ Χριστοῦ μου· καὶ πάλιν ἐκβληθεὶς τῆς φυλακῆς καὶ βασανισθείς, χαίρων ἀπεκεφαλίσθη :

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ῥωμανοῦ καὶ τοῦ σὺν αὐτῷ νηπίου.

Ἐπὶ Μαξιμιανοῦ τοῦ παρανόμου. Καὶ οὗτος ὁ μάρτυς ἦν· κατ' ὁδὸν γὰρ συναντήσας τῷ ἐπάρχῳ Ἀσκληπιάδῃ εἰς τὸν τῶν εἰδώλων ἀπερχομένῳ ναόν, ζηλώσας ἐπειράθη κωλῦσαι αὐτόν· εἰπών, ὅτι οὐκ εἰσὶ τὰ εἴδωλα θεοί· ἀλλ' εἷς θεός, ὁ τῶν χριστιανῶν· ὅθεν τύπτεται παρ' αὐτοῦ εἰς τὸ στόμα καὶ κρεμασθεὶς ξέεται· ξεόμενος δὲ ἔλεγεν ὅτι εἷς θεὸς ὁ τῶν χριστιανῶν, ὃν καὶ τὰ νήπια ἐπίστανται· ἠνέχθη δὲ καὶ παιδίον προστάξει τοῦ ἁγίου, εἰς ἔλεγχον τοῦ ἐπάρχου· καὶ ἔφη πρὸς αὐτὸ ὁ ἔπαρχος· ποῖον θεὸν σέβεις· τὸ δὲ εἶπεν· ὃν οἱ χριστιανοὶ πιστεύουσι· καὶ τοῦτο ἐδιδάχθην ὑπὸ τῆς μητρός μου· εἶτα τυπτόμενον τὸ παιδίον τῆς μητρὸς παρεστώσης, ἐδίψησε καὶ ἐζήτησεν ὕδωρ· ἡ δὲ μήτηρ εἶπε· μὴ πίῃς τέκνον ἐκ τοῦ ὕδατος τούτου· ἀλλ' ἄπελθε πίε ἐκ τοῦ ζῶντος ὕδατος· καὶ οὕτως ἀπεκεφαλίσθη· ὁ δὲ ἅγιος ἐκτμηθεὶς τὴν γλῶσσαν καὶ πάλιν λαλῶν, ἐμβληθεὶς φυλακῇ, τῇ προστάξει τοῦ Μαξιμιανοῦ ἐν αὐτῇ ἀποπνιγείς, τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβε.

15 Nov. Romani et socior. Mr.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΑΖΗ:

Ἐκ τῆς χώρας τῶν Ἰσαύρων οὗτος γενόμενος ἐστρατεύθη
παρὰ Λικιννίου τοῦ δυσσεβοῦς· καταλιπὼν δὲ τὴν στρα-
τείαν, ἀπελθὼν ἐν ταῖς ἐρήμοις ἐμόνασε, σχολάζων εὐχαῖς
καὶ ἀγρυπνίαις· ἔνθα πολλὰς ἰάσεις καὶ θαυμάτων ἐνερ-
γείας ἐξετέλει· κυνηγετῶν δὲ διὰ τὸ θηρᾶν ἀποσφαλέντων
ἐν τῷ ὄρει, φανερὸς ὁ Ἄζης τῷ Διοκλητιανῷ γίνεται· ὁ δὲ
πέμψας στρατιώτας καὶ κρατήσας αὐτὸν, παρέστησε τῷ βή-
ματι αὐτοῦ σὺν τοῖς ἑκατὸν πεντήκοντα στρατιώταις. πιστεύου-
σι καὶ αὐτοῖς· διὰ γὰρ προσευχῆς ὕδωρ κατὰ τὴν ὁδὸν ἀνυδρο-
οὖσαν ἐξαγαγὼν καὶ ποτίσας αὐτούς, ἐπεσπάσατο πρὸς τὴν
πίστιν· ὀργισθεὶς δὲ Διοκλητιανὸς, παρέδωκεν αὐτοὺς τι-
μωρηθῆναι Ἀκυλίνῳ τῷ ἐπάρχῳ· ὁ δὲ ἐκ τριχῶν κρεμά-
σας τὸν ἅγιον, καὶ μετὰ σιδηρῶν ὀνύχων ξέσας, ἐνέβαλεν
εἰς κάμινον πυρός· καὶ ἰδοῦσα αὐτὸν ἡ γυνὴ τοῦ ἐπάρχου με-
τὰ τῆς θυγατρὸς ἀβλαβῆ ἐξελθόντα, ἐπίστευσαν· ὀργισθεὶς
δὲ ὁ ἔπαρχος ἀπεκεφάλισεν αὐτὰς, καὶ τοὺς στρατιώτας, καὶ τὸν ἅγιον:

Nov. Azae Mart. et miracula edentis

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου προφήτου Ἀβδιοῦ·

Ὁ ἅγιος προφήτης Ἀβδιοῦ, ἐγένετο ἐκ τῆς γῆς Συχὲμ· χώρας
τῆς Βηθαχαρίμης· ἐδούλευε δὲ τῷ βασιλεῖ τῶν Ἑβραίων
Ἀχαάβ· ὅτε δὲ ἀπέστειλε μὲν ὁ αὐτὸς βασιλεὺς τῶν Ἑβραίων
ὁ Ἀχαὰβ πρὸς τὸν ἅγιον Ἠλίαν τὸν ἔνδοξον καὶ μέγαν προ-
φήτην τοὺς δύο πεντηκοντάρχους· εἰπεῖν αὐτῷ κατελ-
θεῖν ἀπὸ τοῦ ὄρους πρὸς αὐτόν· καὶ διὰ προσευχῆς τοῦ
προφήτου κατεκάησαν μετὰ τοῦ λαοῦ αὐτῶν· πεσόν-
τος πυρὸς ἐξ οὐρανοῦ καὶ καταφαγόντος αὐτούς· ἀ-
πέστειλε καὶ τοῦτον τρίτον ἵνα καλέσῃ αὐτὸν καὶ ἀγάγῃ
πρὸς αὐτόν· καὶ ἀπελθὼν πρὸς τὸν προφήτην ἔ-
πεσεν εἰς τοὺς πόδας αὐτοῦ· καὶ ἐδεήθη αὐτοῦ ἵνα μὴ
κατακαῇ καὶ οὐ κατεκάη· τότε ἦλθε πρὸς τὸν βα-
σιλέα ὁ προφήτης· καὶ ἀπὸ τότε καταλιπὼν τὸν
βασιλέα ὁ Ἀβδιοῦ. ἠκολούθει τῷ ἁγίῳ Ἠλίᾳ· καὶ γενό-
μενος αὐτοῦ μαθητής· καὶ προφητεύσας πολλά, ἀ-
πέθανε καὶ ἐτάφη ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ·

19 Nov. Abdias propheta

Μηνὶ τῷ αὐτῷ κ΄. ἄθλησις τοῦ ἁγίου μάρτυρος Δασίου τοῦ ἐν Δοροστόλῳ·

Ἐν τῇ αὐτῇ πόλει. τοιοῦτον ἔθος ἦν τοῖς ἕλλησι· τῶν ἱερω-
μένων ἐκλέγεσθαι ἐν ἑορτῇ ἐτησίως· πρὸ τριάκοντα δὲ ἡμε-
ρῶν τῆς τοιαύτης μυσαρᾶς ἑορτῆς, ἐπιβάλλοντες ἱμάτι-
α τῶν στρατιωτῶν μὲν ἕνα καὶ εὐειδῆ. καὶ εὐτρεπίζοντες πρὸς
θυσίαν· ἐνδύοντες αὐτὸν ἱμάτια βασιλικά. καὶ προτρέ-
ποντες αὐτὸν ἀποπληροῦν πᾶσαν ἐπιθυμίαν αὐτοῦ. ὡς μετὰ
τριάκοντα ἡμέρας μέλλοντα ἑαυτὸν ἐπισφάξαι τῷ βω-
μῷ τοῦ Κρόνου· ἐλθόντος δὲ τοῦ κλήρου καὶ ἐπιδόντος τὸν
στρατιώτην· καὶ τῶν συστρατιωτῶν περιστάντων αὐτῷ· καὶ
πρὸς τὰ ὅμοια ἐκβιαζομένων· ἐκεῖνος ἀγαθῷ λογισμῷ
χρησάμενος· ἐσκόπησε τὸ συμφέρον· εἰ πάντως ὅτι ἐπεὶ μέλ-
λω θανεῖν. κρεῖττόν μοί ἐστιν ὡς χριστιανῷ ὑπὲρ τοῦ Χ(ριστο)ῦ
μου ἀποθανεῖν· ὅθεν παραστὰς τῷ τοῦ ἄρχοντος
βήματι. Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦτο μα-
θόντων καὶ προσταξάντων· καὶ πολλὰ τιμωρη-
θεὶς. τελευταῖον τὴν διὰ ξίφους ἐδέξατο τελευτήν·

20 Nov.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τῶν ἐν Περσίδι μαρτυρησάντων· Νηρσᾶ ἐπισκό(που) καὶ Ἰωσὴφ μαθητοῦ αὐτοῦ∴

Οὗτοι οἱ ἅγιοι. κατῴκουν ἐν Περσίδι· ἐπιμελούμενοι ἀρετῆς
καὶ φοβούμενοι τὸν ἀληθινὸν Θ(εό)ν· τὸν ποιήσαντα τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ
ἐν αὐτοῖς. καὶ πορευόμενοι κατὰ τὰς ἐντολὰς αὐτοῦ.
Καὶ ὁ μὲν Νηρσᾶς γέρων ὢς πρότερον ἐπίσκοπος· ἐδί-
δασκε τὸν λαὸν τὴν εὐσέβειαν. πολλοὺς μαθητὰς
ποιησάμενος· ἐν οἷς ἦν καὶ Ἰωσήφ. ὁ ὕστερον διὰ
πολλὴν ἀρετὴν προχειρισθεὶς ὑπὸ τοῦ Νηρσᾶ ἐπί-
σκοπος· ὅτε δὲ διὰ τὸ ἐπιστρέφειν τὸν λαὸν ἀπὸ τῆς
πλάνης ἐπὶ τὴν ἀλήθειαν· ἐκρατήθησαν ὑπὸ τῶν
ἀθέων Περσῶν. ὑπῆρχεν ὁ μὲν Νηρσᾶς ἐτῶν ὀγδοή-
κοντα· ὁ δὲ Ἰωσήφ. ὀγδοήκοντα πέντε· παραστάντες οὖν
τῷ βασιλεῖ. ἔφησαν αὐτῷ· ὅτι εἰ δύνασαι βασιλεῦ μετὰ
τὸ θανατῶσαι ἡμᾶς ἑπτάκις ἀναστῆσαι. οὐδ' οὕτως ἡ-
μᾶς χωρίσεις ἀπὸ τῆς ἀγάπης τοῦ Χ(ριστο)ῦ· Καὶ ταῦτα εἰ-
πόντες. τὴν διὰ τοῦ ξίφους προθύμως ἐδέξαντο τελευτήν∴

20 Nov.

194

Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τῶν ἁγίων Ἰωάννου, Σαβωρίου καὶ Ἰσαακίου ἐπισκόπων καὶ Παπίου καὶ Ἰσαακίου τῶν πρεσβυτέρων.

Καὶ οὗτοι οἱ ἅγιοι ἐν Περσίδι ἐτύγχανον· ἐπίσκοποι χρηματίζοντες· ἐπειδὴ δὲ τὸν λαὸν ἐδίδασκον, τὴν πλάνην τῶν Περσῶν καταλῦσαι σπουδάζοντες, διὰ λόγων ἰσχυρῶν ἀποδεικνύοντες μὴ δὲ εἶναι τὰ εἴδωλα, μὴ τὸν ἥλιον ἢ τὸ πῦρ θεούς· ἀλλὰ κτίσματα καὶ δοῦλα ὄντα μόνον τοῦ Θεοῦ· ἀλλὰ καὶ τοὺς γάμους· διὰ γὰρ ἡμετέραν ὑπερβίαν ἔφασκον ταῦτα γίνεσθαι. Εἷς δὲ μόνος ἰδὼν ὁ ταῦτα παραγγέλλων, διεβλήθησαν τῷ βασιλεῖ· ὁ δὲ μετὰ θυμοῦ μεγάλου καὶ ὀργῆς πέμψας στρατιώτας ἐκράτησεν αὐτούς· οἱ τίμιοι δὲ ὁμοίως παρέστησαν τῷ βήματι αὐτοῦ· καὶ γυμνωθέντες διαφόρως ἐμαστίζοντο καὶ κατεξαίνοντο· ἐπειδὴ δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὐ μόνον οὐκ ἠρνήσαντο, ἀλλὰ καὶ Θεὸν ἀληθινὸν καὶ τῆς τῶν Περσῶν πλάνης καταλυτὴν ἀνωμολόγουν· προστάξει τοῦ τυράννου, τῆς πόλεως ἔξω σὺν τοῖς ἄλλοις ὁμοῦ τοῖς ἀσκηταῖς ἐλιθοβολήθησαν.

20 Nov. Joannes, Sabonus ... Isaac ... presbiteror.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΒΟΗΘΑΖΑΤ ΤΟΥ ΕΥΝΟΥΧΟΥ, ΚΑΙ ΚΑΣΑΝΟΥΣ· ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΟΙΣ ΑΓΙΩΝ, ΑΝΔΡΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ·

Ὁμοίως καὶ οὗτοι. ἐν τῇ περσικῇ αὐτῶν καὶ κατειδώλῳ
χώρᾳ τῶν παρανόμων Περσῶν ἐτύγχανον· καὶ ὁ μὲν
εὐνοῦχος Βοηθαζὰτ χριστιανὸς ἐκ προγόνων ὤν· κρατηθεὶς
καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί. προστά-
ξει τοῦ Περσῶν βασιλέως ἅμα τοῖς ἁγίοις μετὰ πολλὰς
βασάνους καὶ τιμωρίας. ἀνῃρέθη· εὐθέως καὶ γυναῖκες
ἅγιαι αἱ ἀθλήτριαι· Θέκλα καὶ Ἄννα καὶ ἕτεραι πολλαί·
πλεῖσται ὑπὲρ Χριστοῦ παθοῦσαι· καὶ στερρῶς ἐλέγξασαι
τὴν ὠμότητα τοῦ Περσῶν βασιλέως καὶ παρα-
φροσύνην. ἀπεκεφαλίσθησαν· ὁμοίως καὶ τρεῖς
παρθένοι μαχαίραις κατεκόπησαν· ὅπου δὲ ἐρ-
ρύσε τὸ αἷμα αὐτῶν· οὐκ ἠμαυρώθη(?) πηγάσασα. ἰαμά-
των χάριν παρεῖχε τοῖς πιστοῖς· θεραπεύουσα πᾶ-
σαν νόσον καὶ πᾶσαν μαλακίαν· ὕστερον δὲ φθονή-
σαντες τῇ τῶν θείων θαυμάτων ἐνεργείᾳ οἱ ἄθεοι
καὶ ἀσεβεῖς μανιχαῖοι. ἐξέκοψαν τὴν τοιαύτην πηγήν·

20 Nov. Boetazat Eunuchi et Sassani, et sociorum, et mulierum Mart

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου:·

Γρηγόριος ὁ δεκαπολίτης ὑπῆρχεν ἐκ τῆς ἐπαρχίας
ἰσαυρίας δεκαπόλεως· ἐπὶ τῶν χρόνων τῶν δυσσεβῶν
εἰκονομάχων· εἰς ἡλικίαν δὲ ἐλθών· βουληθέντων
τῶν γονέων πρὸς γάμον ἐκδοῦναι αὐτόν. φυγὼν γὰρ
γέγονε μοναχός· καὶ εἰσελθὼν εἰς σπήλαιον, ἐν ᾧ δαίμονες
πολλοὶ κατῴκουν· οἳ καὶ ἔτυπτον τὸν ἅγιον. τελευ-
ταῖον δὲ διὰ τῆς προσευχῆς αὐτοῦ ἐφυγαδεύθησαν· εἶτα
ὑπὸ θείας ὀπτασίας τὸ σπήλαιον ἀφείς· καὶ ἀπὸ πό-
λεως εἰς πόλιν διερχόμενος· κατήντησεν εἰς
συρακοῦσαν πόλιν τῆς σικελίας· εἰσελθὼν εἰς ἕ-
να τῶν πύργων τοῦ τείχους· ἐν ᾧ θαύματα πολλὰ καὶ
δαίμονας ἐξέβαλεν· εἶτα ἀπελθὼν εἰς θεσσαλονίκην·
εἶτα εἰς τὸ βυζάντιον· κατὰ θέαν τοῦ θείου αὐτοῦ συ-
μεῶνος ἐκεῖσε δεσμώτου ὄντος διὰ τὴν εὐσέβειαν·
ᾧτινι καὶ συνδιατρίψας ἱκανῶς· καὶ τὰ περὶ ψυχῆς
συμφιλοσοφήσας· μετ' ὀλίγον πρὸς κύριον ἐξεδήμησεν:·

μηνὶ τῷ αὐτῷ κα'. τὰ εἰσόδια τῆς θεοτόκου ὅτε προσηνέχθη ἐν τῷ ναῷ καὶ εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων:

Μετὰ τὸν παράδοξον τόκον τῶν ἁγίων ἰωακεὶμ καὶ ἄννης·
πληρωθέντος διετοῦς χρόνου ἀπὸ τῆς σεπτῆς γεννήσεως
τῆς ὑπερενδόξου θεοτόκου καὶ ἀειπαρθένου μαρίας. εἶπεν ἰωα-
κεὶμ τῇ γυναικὶ αὐτοῦ ἄννῃ· ἀπαγάγωμεν αὐτὴν ἐν τῷ
ναῷ κυρίου, καθὼς ὑπεσχόμεθα· καὶ εἶπεν ἄννα· μείνω-
μεν τὸ τρίτον ἔτος· μήπωτε ζητήσῃ πατέρα ἢ μητέρα. καὶ οὐ
καταδεχθήσεται ἐνώπιον κυρίου· καὶ μετὰ τρία ἔτη. εἶπεν
ἰωακείμ· καλέσωμεν τὰς θυγατέρας τῶν ἑβραίων τὰς ἀ-
μιάντους· καὶ λαβέτωσαν ἀνὰ λαμπάδα· καὶ ἔστωσαν αἱ
λαμπάδες καιόμεναι. μήπωτε στραφῇ ἡ παῖς εἰς τὰ
ὀπίσω, καὶ αἰχμαλωτισθῇ ἡ διάνοια αὐτῆς ἐν ναῷ κυρίου· καὶ
ἐποίησαν οὕτως· καὶ ἐδέξατο αὐτὴν ζαχαρίας καὶ εἶπεν
αὐτῇ· μεγαλύναι κύριος τὸ ὄνομά σου· καὶ ἐκάθισεν αὐτὴν ἐπὶ
τοῦ ἀναβαθμοῦ τοῦ θυσιαστηρίου· καὶ ἦν τρεφομένη ὑπὸ ἀγγέλων,
ἕως ἐγένετο ἐτῶν δώδεκα· καὶ φθάσαντος τοῦ καιροῦ τῆς μνη-
στείας, παρέλαβεν αὐτὴν ἰωσὴφ ἀπὸ τῶν ἀρχιερέων ἐκ ναοῦ κυρίου:

21 Nov. Presentatio B. Virginis

✝ Μηνὶ τῷ αὐτῷ κβ'. ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρκου καὶ Στεφάνου.

Ἐπὶ τῆς βασιλείας τοῦ παρανόμου Διοκλητιανοῦ καὶ οὗτοι οἱ ἅγιοι τὸν τῆς ἀθανασίας ὑπὲρ τοῦ Χριστοῦ διήθλησαν ἀγῶνα· ὑπάρχοντες γὰρ ἐκ τῆς πόλεως Ἀντιοχείας τῆς Πισιδίας, καὶ πάντα χοῦ παρρησίᾳ τοῖς προσερχομένοις τὸν τῆς ἀληθείας λόγον κηρύττοντες, καὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὁμολογοῦντες, καὶ Κύριον τοῦ παντός, διεβλήθησαν Μάγνῳ τῷ ἡγεμόνι· καὶ κρατηθέντες, καὶ πλεῖστα βασανισθέντες, καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστόν, συνεδέθησαν τῶν μετ' αὐτῶν ἁγίων μαρτύρων τῶν λεγομένων καὶ λωτηνῶν ὡς φωστῆρι ἐκλάμποντι Μάρκῳ καὶ αὐτῶν καλουμένων· καὶ διαφόρως συναθλήσαντες αὐτῷ, καὶ πολλὰ τιμωρηθέντες, καὶ μὴ πεισθέντες θῦσαι τοῖς ἀκαθάρτοις δαίμοσιν, ἀπετμήθησαν τὰς τιμίας αὐτῶν κεφαλάς, προστάξει τοῦ Μάγνου· καὶ κατετέθησαν ἐν τῇ χώρᾳ τῆς Πισιδίας, ἐξ ἧς καὶ ἐγένοντο.

τουνιαρχ.

22 Nov. Marci et Stephani Mart. ex Antiochia Pisidiae.

Μηνὶ τῷ αὐτῷ κγ'. ἄθλησις τῶν ἁγίων μαρτύρων
Ἀρχίππου μαθητοῦ Παύλου τοῦ ἀποστόλου καὶ
Φιλήμονος τοῦ στρατιώτου·

Οὗτοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως· μαθηταὶ
δὲ γεγονότες τοῦ ἁγίου Παύλου. ἐμαρτύρησαν ἐν Χώναις
πόλει τῆς Φρυγίας· ἥτις ἐστὶ πλησίον Λαοδικείας·
ἑορτῆς γὰρ ἀγομένης τῆς μυσαρᾶς Ἀρτέμιδος ἐν τῷ ταύτης ναῷ
τῷ ἐν Χώναις παρὰ τῶν πεπλανημένων Ἑλλήνων. οὗ
τοι οἱ ἅγιοι τὴν δοξολογίαν ἀνέπεμπον τῷ θεῷ ἐν τῇ ἁγι
ωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν χριστιανῶν· εἶτα ἐπερχό
μενοι αὐτοῖς οἱ εἰδωλολάτραι· τῶν μὲν λοιπῶν φυγόν
των· μόνον δὲ Ἀρχίππου καὶ Φιλήμονος καὶ Ἀπφίας
ὑπομεινάντων· κρατήσαντες αὐτούς. ἤγαγον πρὸς Ἀν
δροκλέα τὸν σιτοφύλακα καὶ ἐφόρου· τύπτεται οὖν παρὰ
τοῦ ἄρχοντος· καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις εἰς
βόθρον ἐμβάλλεται καὶ χώννυται μέχρι τοῦ ὀμφαλοῦ· καὶ
ὑπὸ παίδων σχολικῶν γραφείοις κατακεντηθεὶς ὅλον
τὸ σῶμα πρότερον. ὕστερον ἐλιθοβολήθη· εἶτα καὶ ὁ
ἅγιος Φιλήμων μετὰ ξύλων τυφθεὶς ἅμα ἡμέρᾳ(?) τελειοῦται·

Nov. 23 Archippi discipuli Pauli Apli, et Filemonis militis Mart

✠ Μηνὶ τῷ αὐτῷ κβ΄. Ἄθλησις τῆς ἁγίας μάρτυρ(ος) Κικιλίας καὶ τῶν σὺν αὐτῇ ἁγίων, Βαλεριανοῦ καὶ Τιβουρτίου.

Ἡ μάρτυς Κικιλία ὑπῆρχεν ἐκ τῆς πόλεως Ῥώμης, πλουσίων γονέων θυγάτηρ· μνηστευθεῖσα δὲ Οὐαλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν μετήγαγεν, ἐξ ἐπιφανείας ἀγγέλου· ὃν καὶ ὑπέδειξεν αὐτῷ. Ὁ δὲ Οὐαλεριανὸς ἔπεισε βαπτισθῆναι Τιβούρτιον τὸν ἀδελφὸν αὐτοῦ· οἱ τρεῖς δὲ ἐδιδάσκοντο παρὰ Οὐρβανοῦ ἐπισκόπου τῆς πόλεως. Τοσαύτης δὲ ἠξιώθη χάριτος ὁ Τιβούρτιος, ὡς καὶ ἀγγέλοις καθεκάστην προσομιλεῖν. Οὗτος τὰ σώματα τῶν ἐναθλούντων μαρτύρων θάπτων μετὰ τοῦ Οὐαλεριανοῦ, διαβληθέντες τῷ ἐπάρχῳ τῆς πόλεως, καὶ παρ' αὐτοῦ κρατηθέντες καὶ τιμωρηθέντες, παρεδόθησαν Μαξίμῳ καπικλαρίῳ. Καὶ παρ' αὐτοῦ τὰς τιμίας αὐτῶν ἀπετμήθησαν κεφαλάς, ἐπισπασάμενοι καὶ τὸν καπικλάριον Μάξιμον εἰς τὴν πίστιν· ὅστις ὑπὸ τοῦ ἐπάρχου τιμωρούμενος ἐτελειώθη. Ἡ δὲ Κικιλία εἰς λουτρὸν ἐκπυρωθὲν ἐμβληθεῖσα, καὶ τρεῖς ἡμέρας διαμείνασα, καὶ μηδὲν βλαβεῖσα, ἐτμήθη τὴν κεφαλήν.

Nov. Cecile [illegible] et Tiburce

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν ἱερομάρτυρος Σισιννίου ἐπισκόπου Κυζίκου·

Ὁ ἅγιος ἱερομάρτυς Σισίννιος ὑπῆρχε μὲν ἐπὶ Διοκλητιανοῦ
τοῦ βασιλέως ἐπίσκοπος Κυζίκου· διδάσκων δὲ τὰ
πλήθη τῶν Ἑλλήνων τὴν εἰς Χριστὸν πίστιν· καὶ ἐπιστρέ-
φων ἀπὸ τῆς πατροπαραδότου πλάνης τῶν εἰδώ-
λων ἐπὶ τὸν Κύριον· καὶ βαπτίζων εἰς τὸ ὄνομα αὐτοῦ·
τοὺς δὲ πιστοὺς στηρίζων καὶ ἑδραιοτέρους ποιῶν ταῖς
παραινέσεσιν· ἔτι δὲ καὶ τοὺς κρατουμένους διὰ τὸ ὄ-
νομα τοῦ Χριστοῦ καὶ ἐν φυλακαῖς ὄντας καὶ βασάνοις
ἐπισκεπτόμενος καὶ θεραπεύων· καὶ ἐπαλείφων
πρὸς τὸ μαρτύριον, διεμηνύθη τῷ Διοκλητιανῷ· καὶ
κρατηθεὶς, πρῶτον μὲν μαστιγοῦται καὶ τύπτεται
ἰσχυρῶς· καὶ κρεμασθεὶς ξέεται τὰς πλευράς· ἔπει-
τα, παραδίδοται φυλακῇ· καὶ λιμῷ προσπαλαίει
καὶ δίψει, καὶ ἑτέραις μυρίαις θλίψεσιν· εἶτα τῆς φυλα-
κῆς ἐκβληθεὶς· καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι
τὸν Χριστὸν καὶ μὴ πεισθεὶς, τὸ διὰ ξίφους χαίρων ἐδέξατο τέλος·

24 Nov.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΑΚΡΑΓΑΝΤΙΝΩΝ ΠΟΛΕΩΣ·

Ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου· Χαρί-
τωνος καὶ Θεοδότης υἱός· ἦσαν οἱ αὐτοῦ φιλόξενοι ἄν(θρωπ)οι.
ὑπάρχοντες ἐν τῇ πόλει Ἀκραγαντίνων· ἐξ ὧν ἐγεννήθη
ὁ Γρηγόριος οὗτος· ὃς μὲν ἐκ τοῦ ἁγίου βαπτίσματος δεξά-
μενος ὁ ἐπίσκοπος ἀνέθρεψεν· εἶτα καὶ κληρικὸν
ἐποίησεν· ὀκτωκαιδεκαέτης δὲ γενόμενος, ἀπῆλθε
προσκυνῆσαι τοὺς ἁγίους τόπους· καὶ γίνεται διάκονος
ὑπὸ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων· εἶτα ἀπέ-
ρχεται εἰς τὸ Βυζάντιον· εἶτα εἰς Ῥώμην· ἐν ᾗ καὶ
προχειρίζεται ἐπίσκοπος Ἀκραγαντίνων· ὅθεν φθο-
νήσαντες αὐτῷ Σαβῖνος καὶ Κρισκεντῖνος, μυρίους πει-
ρασμοὺς ἐπήγαγον· καὶ θαυματουργήσας διαφόρως
Θ(εο)ῦ χάριτι, κατῄσχυνεν αὐτούς· καὶ μεγάλα ἐποίησεν.
ὥστε καὶ μέχρι τῆς σήμερον φαίνεσθαι κατὰ γέ-
νεαν· καὶ οὕτω παραλαβὼν τὴν ἐκκλησίαν· καὶ μυρία ἐρ-
γασάμενος θαύματα, ἐν μακροτάτῳ γήρᾳ τὸν βίον ἀπέλιπεν·

❖ μηνὶ τῷ αὐτῷ κε΄. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος ἐπισκόπου Ῥώμης·:·

Κλήμης ὁ σοφώτατος· ὑπῆρχε μαθητὴς καὶ διάδοχος
τῶν μεγάλων ἀποστόλων· ἀπὸ κινδύνου γὰρ θαλάσσης
ποτὲ διασωθεὶς· καὶ τῷ ἀποστόλῳ Πέτρῳ ἐντυχών· ὑ
π' ἐκείνου διδάσκεται τὴν εἰς Χριστὸν ἀλήθειαν· ἐπιστά
μενος καὶ τὴν ἑλληνικὴν γνῶσιν· κήρυξ δὲ τοῦ εὐαγ
γελίου γενόμενος· καὶ τὰς τῶν ἀποστόλων διατάξεις
συγγραψάμενος· κατέστη καὶ Ῥώμης ἐπίσκοπος· ἀλ
λὰ παρὰ Δομετιανοῦ βασιλέως κρατηθεὶς τιμωρεῖ
ται· εἶτα ἐν μαλμύρᾳ τῆς Γαλατίας παραπέμπεται· ἐν
ᾗ καὶ ἐν τοίχῳ τινὶ ἀποκλείεται. ἀνοικοδομηθείσης τῆς αὐ
τοῦ θύρας ἐκ λίθων· ὅθεν καὶ ὀσπρίοις μόνοις ἐτρέφετο·
οὕτω δὲ στενούμενος· τελείου ἐχρήσατο· ὕστερον
δὲ ὥς φασι πιστοί τινες ἀναλαβόμενοι τὸ τίμιον αὐτοῦ
λείψανον· ἀπεκόμισαν ἐν Χερσῶνι· ὅπερ ἐναπερ
ρίφη τῇ θαλάσσῃ· ὑπὸ τῶν εἰδωλολατρῶν· μυρία
θαύματα ἐνεργοῦν· μέχρι καὶ σήμερον εἰς δόξαν Χριστοῦ·:·

25 Nov. Clemens P. Romani

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας·

Πέτρος ὁ ἱερομάρτυς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασι-
λέως ἐπίσκοπος Ἀλεξανδρείας· κρατηθεὶς δὲ, καὶ
μέλλων ἀποκεφαλισθῆναι· καὶ ἀκούσας τοῦτο ὁ αἱρε-
τικὸς Ἄρειος, ὁ μὴ ἔχων λόγον ἔξω τῆς ἐκκλησίας, ἦλθε
συγχώρησιν αἰτούμενος· τὸν δὲ ἅγιον Πέτρον μὴ συγχω-
ρῆσαι αὐτῷ· ἀλλ' εἰπεῖν ὅραμα ἰδεῖν τὸν Χριστὸν ἐν σχήμα-
τι νεανίσκου, περικείμενον χιτῶνα διερρηγμένον ἀπὸ
κεφαλῆς ἄχρι ποδῶν· καὶ ὅτι ἐρωτήσαντα· Κύριε τίς σου τὸν
χιτῶνα διέρρηξεν; ἀκοῦσαι ὅτι Ἄρειος· ἀλλ' αὐτὸν τοῦτον εἰς
κοινωνίαν μὴ δέξῃ· Ἄρειος γὰρ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε
ἐν τῷ μέλλοντι συγχωρηθήσεται· ἐδήλου δὲ ὁ διερρηγμέ-
νος χιτὼν τὴν εἰς τὴν ἁγίαν Τριάδα διαίρεσιν τῆς τοῦ
Ἀρείου κακοφημίας· ὡς ταῦτα εἰπών· καὶ τὸν διάδοχον
αὐτοῦ φανερὸν ἐξ ὀνόματος ποιήσας· ὁμοίως καὶ τὸν ἐ-
κείνου, ἠκολούθησε τοῖς δημίοις· καὶ κατὰ τὴν τοῦ
Μαξιμιανοῦ πρόσταξιν, τὴν κεφαλὴν ἀπετμήθη·

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Μερκουρίου.

Ὁ μάρτυς Μερκούριος γέγονε μὲν ἐπὶ Δεκίου καὶ Βαλεριανοῦ
τῶν βασιλέων· ἐκ τῆς ἀνατολῆς στρατιώτης ὤν·
ἀνδραγαθήσας δὲ ποτὲ κατὰ τῶν βαρβάρων· ἐνδυ-
ναμωθεὶς ὑπὸ ἀγγέλου· προεβλήθη στρατηλάτης
παρὰ τῶν βασιλέων· ἀγαπήσας δὲ τὸν Χριστὸν, ἐγένετο
χριστιανός· καὶ τοῦτο μαθὼν ὁ βασιλεὺς, ἐπικράν-
θη· καὶ κρατήσας αὐτὸν, ἔδησεν ἐπὶ τὴν γῆν εἰς τέσ-
σαρας πασσάλους· καὶ μετὰ μαχαιρῶν κατέκοπτε τὰ
μέλη αὐτοῦ· καὶ ὑποκάτω αὐτοῦ ἧψε πῦρ· καὶ ἀ-
πὸ τοῦ πολλοῦ αἵματος, ἐσβέσθη τὸ πῦρ· καὶ μετὰ
τοῦτο προσέδησαν εἰς τὸν τράχηλον αὐτοῦ λίθον
βαρύν· καὶ ἐκρέμασαν αὐτὸν κατὰ κεφαλῆς· εἶτα
ἔδειραν αὐτὸν μετὰ μαστίγων χαλκῶν· καὶ δή-
σαντες ἀπήγαγον εἰς Καισάρειαν τῆς Καππαδοκί-
ας· καὶ ἀπεκεφάλισαν· ὅπου καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ·
ἰάματα πᾶσι τοῖς πιστοῖς παρέχον μέχρι τῆς σήμερον.

25 Nov. Mercury ... Anatolic

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης·

Η μάρτυς Αἰκατερίνα, ἦν μὲν ἀπὸ Ἀλεξανδρείας· θυγάτηρ βασιλίσκου τινός, πλουσίου καὶ ἐνδόξου· εὔμορφος πάνυ· εὐφυὴς δὲ ὑπάρχουσα, ἔμαθεν ἑλληνικὰ γράμματα, καὶ ἐγένετο σοφή· λαλοῦσα καὶ γλώσσας πάντων τῶν ἐθνῶν· ἐπετελεῖτο δὲ ἑορτὴ τοῖς εἰδώλοις παρὰ τῶν ἑλλήνων· καὶ θεωροῦσα τὰ ζῶα σφαζόμενα, ἐλυπήθη· καὶ ἀπῆλθεν εἰς τὸν βασιλέα Μαξέντιον· καὶ ἐφιλονείκησεν αὐτόν· εἰποῦσα ὅτι διατί ἐγκαταλιπὼν θεὸν ζῶντα, καὶ προσκυνεῖς εἰδώλοις ἀψύχοις· ἐκεῖνος δὲ ἐκράτησεν αὐτήν· καὶ ἐτιμωρήσατο ἰσχυρῶς· καὶ μετὰ τοῦτο ἔφερεν ὁ βασιλεὺς πεντήκοντα ῥήτορας καὶ εἶπεν αὐτοῖς ὅτι διαλέχθητε πρὸς τὴν Αἰκατερίναν· καὶ πείσατε αὐτήν· ἐὰν γὰρ μὴ νικήσητε αὐτήν, πάντας ὑμᾶς κατακαύσω πυρί· ἐκεῖνοι δὲ ἰδόντες ὅτι ἐνικήθησαν· ἐβαπτίσθησαν καὶ οὕτως ἐκάησαν· ἀπεκεφαλίσθη δὲ καὶ αὐτή·

Μηνὶ τῷ αὐτῷ κϛ'. μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς
ἡμῶν Ἀλυπίου·

Ὁ ἅγιος πατὴρ ἡμῶν Ἀλύπιος· ἠγωνίζετο ἐπὶ τῆς βα-
σιλείας Ἡρακλείου· ἐγένετο δὲ ἀπὸ Ἀδριανουπόλεως
τῆς Παφλαγονίας· πρὸ τοῦ γεννηθῆναι δὲ αὐτὸν, εἶδεν
ἡ μήτηρ αὐτοῦ ὄνειρον τοιοῦτον· εἶδεν ὅτι ἐβάσταζεν
εἰς τὰς ἀγκάλας αὐτῆς ἀρνίον ὡραῖον· ἔχον εἰς τὰ κέ-
ρατα αὐτοῦ κηρία ἀπτόμενα· καὶ ἐκ τούτου ἐνενόη-
σεν, ὅτι τὸ παιδίον ὃ μέλλει γεννῆσαι, ἐνάρετον γε-
νήσεται· ὃ καὶ γέγονεν· γεννηθεὶς γὰρ, ἐγένετο κλη-
ρικὸς· εἶτα διάκονος· καὶ ἀφῆκε τὸν κόσμον· καὶ
ἀνῆλθεν εἰς κίονα· καὶ ἐγένετο στυλίτης· ἀσκεπὴς
γυμνὸς ἱστάμενος· καὶ πολλὰ θαύματα ποιῶν· ὥστε
κουλωθῆναι ὑπὸ τῶν δαιμόνων· ἐκεῖνος δὲ ἕως οὗ
ἠδύνατο, προσηύχετο ὀρθὸς ἱστάμενος· ὅτε δὲ με-
τὰ λίθου ἀπολυθέντος [illegible] λαμβ' πέρα τῶν δαι-
μόνων· κατέπεσεν ἐπὶ πλευροῦ ἔτη δεκατρία.
ἕως ἐτελεύτησεν· ὑπάρχων χρόνων ἑκατὸν ὀκτώ·

26 Nov. Alip.

209

Μηνὶ τῷ αὐτῷ κζ΄. Ἄθλησις τοῦ ἁγίου καὶ πολυάθλου μάρτυρος Ἰακώβου τοῦ Πέρσου.

Ὁ πολύαθλος μάρτυς Ἰάκωβος, ἐγένετο ἐκ Περσίδος ἐπὶ Θεοδοσίου βασιλέως Ῥωμαίων. ἀνδρεῖος δὲ ὢν καὶ ἔνδοξος, ἐτιμᾶτο παρὰ τοῦ βασιλέως τῶν Περσῶν. ὢν μὲν πρότερον χριστιανός. καὶ γυναῖκα ἔχων χριστιανήν. καὶ μητέρα καὶ ἑτέρας ὁμοίως χριστιανούς. ὅμως διὰ τὴν τοῦ βασιλέως τιμὴν καὶ ἠρνήσατο τὸν Χριστόν. καὶ προσεκύνει τῷ ἡλίῳ καὶ τῷ πυρί, καὶ ἐσέβετο αὐτὰ ὡς θεούς. μαθοῦσαι δὲ τοῦτο ἡ μήτηρ αὐτοῦ καὶ ἡ γυνή. ἔγραψαν πρὸς αὐτὸν μετὰ λύπης. καὶ ἔπεισαν αὐτὸν πάλιν γενέσθαι χριστιανόν. τότε διαγνωσθεὶς παρὰ τοῦ βασιλέως. καὶ κρατηθείς, πικρότατον ὑπέστη θάνατον. ἐκόπτον γὰρ ἓν ἓν μέλος καὶ μέρος τοῦ σώματος μετὰ μαχαιρῶν. ἕως κατελείφθη μόνον τὸ σῶμα μετὰ τῆς κεφαλῆς καὶ τῆς κοιλίας. καὶ κατὰ μίαν μίαν τομὴν ηὐχαρίστει τῷ Θεῷ. καὶ οὕτως κελεύσει τοῦ βασιλέως, μετὰ μαχαίρας ἐκόπη καὶ ἡ κεφαλὴ αὐτοῦ.

τοῦ ἁγίου

✠ ΜΗΝῚ Τῷ ΑΥ̓Τῷ ΚΗ. ἈΘΛΗΣΙΣ ΤΟΥ̃ ὉΣΊΟΥ ΜΆΡΤΥΡΟΣ ΣΤΕΦΆΝΟΥ ΤΟΥ̃ ΝΈΟΥ· ΚΑῚ ΤΩ̃Ν ΣῪΝ ΑΥ̓Τῷ ΜΑΡΤΥΡΗΣΆΝΤΩΝ ΠΈΤΡΟΥ ΚΑῚ ἈΝΔΡΈΟΥ:

Κωνσταντῖνος ὁ βασιλεὺς ὁ ἐπιλεγόμενος καβαλλῖνος· αἱρετικὸς ὤν· καὶ τὰς ἁγίας εἰκόνας μισῶν· ἔμαθε περὶ τούτων τῶν ἁγίων στεφάνου πέτρου καὶ ἀνδρέου. ὅτι οὐ ποιοῦσι τὸ θέλημα αὐτοῦ· ἀλλὰ προσκυνοῦσι τὰς εἰκόνας· καὶ ἀποκαλοῦσιν αὐτὸν αἱρετικόν· καὶ ἀποστείλας ἐπίασεν αὐτούς· καὶ ἐτιμωρήσατο πρῶτον ἰσχυρῶς· εἶτα τὸν μὲν ἅγιον στέφανον. προσέταξε δεθῆναι μετὰ σχοινίου. καὶ σύρεσθαι μέσον τῆς πόλεως· καὶ συρόμενον τοῦτον· λαβών τις μέγα ξύλον. ἔπληξε κατὰ τῆς κεφαλῆς· καὶ ἐσχίσθη ἡ κεφαλὴ αὐτοῦ εἰς δύο. καὶ ἐτελειώθη· καὶ ἐτάφη ἐν τόπῳ ἐν ᾧ καὶ κατάκειται· ὁμοίως καὶ ὁ ὅσιος ἀνδρέας· καὶ αὐτὸς δεθεὶς καὶ συρόμενος ἐτελειώθη· ὁ δὲ ἅγιος πέτρος· πρότερον ἀποκλεισθεὶς εἰς φυλακήν· καὶ μετὰ τοῦτο ἐκκληθεὶς καὶ τυπτόμενος· παρέδωκε τὸ πνεῦμα αὐτοῦ τῷ θεῷ:

28 Nov. Stefani iunioris, et sociorum Petri, et Andreae Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων τῶν σὺν τῷ ἁγίῳ Στεφάνῳ τῷ νέῳ. ὑπὲρ τῶν ἁγίων εἰκόνων μαρτυρησάντων∻

Πολλοὶ τῶν στρατιωτῶν τὸ ὀρθόδοξον φρονούντων· ἀποταξάμενοι τῷ κόσμῳ, γεγόνασι μοναχοί· τοῖς τοιούτοις δὲ ὁ παράνομος βασιλεὺς τιμωρησάμενος, ἐφόνευσεν· ἕνα γὰρ τὸν μὲν Βασίλειον καλούμενον ἐκτυφλώσας· εἶτα τὴν προσκύνησιν τῶν ἁγίων εἰκόνων μὴ ἀρνούμενον ἀκούσας. λακτίσας ἐξήνεγκε τὰ ἔντερα αὐτοῦ· καὶ οὕτως ἐξορισθεὶς. μετὰ ὀδύνης ἐτελεύτησεν· ἄλλος ἀμέλειστος ἐν τῷ [illegible] ῥινοκοπηθεὶς. ἐν Χερσῶνι ἐξωρίσθη· καὶ μετ᾿ ἄλλων φονευθῆναι. ἐφυγὼν εἰς Χαζαρίαν ἐν ᾗ ἐπίσκοπος ἐγένετο. καὶ ἱερὸν ἐτελειώθη· ἄλλος δὲ Στέφανος ὀνόματι· εἰς Σουγδίαν ἐξορισθεὶς· καὶ πολλοὺς ὠφελήσας. τέλος ἔσχε τοῦ βίου· ὁμοίως καὶ Γρηγόριοι δύο σὺν πολλοῖς ἄλλοις· ἐξορισθέντες. ἀπέθανον· ἀλλὰ καὶ Ἰωάννης ὁ ἀπὸ λαχανταρίων· εἰς Δαφνουσίαν ἐξορισθεὶς· καὶ τῇ τοῦ βασιλέως κελεύσει δερόμενος κατὰ τὸν καιρὸν τοῦ χειμῶνος. τὸν βίον ἀπέλιπεν∻

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Εἰρηνάρχου·

ιρήναρχος ὁ μάρτυς· ἐγένετο ἀπὸ τῆς πόλεως σεβαστείας·
νέος δὲ ὢν τὴν ἡλικίαν· δήμιος τὴν τάξιν ὑπῆρχεν·
καὶ τιμωρουμένων τῶν ἁγίων μαρτύρων. αὐτὸς καθυ-
πούργει· ἐξεταζομένων δὲ γυναικῶν χριστιανῶν
ἐπὶ τῆς βασιλείας διοκλητιανοῦ· παρὰ μαξιμοῦ
ἄρχοντος τῆς σεβαστείας· φωτίζεται τὴν ψυχὴν ὁ εἰ-
ρήναρχος ὑπὸ τῆς θείας χάριτος τοῦ χ(ριστο)ῦ· ἐξ ὧν ἑ-
ώρα τὰς γυναῖκας ὑπὲρ φύσιν ἀνδριζομένας· καὶ
καταισχυνούσας τὸν τύραννον. ἐπὶ τοῖς παρ' αὐτῶν
γινομένοις θαύμασιν· ὅθεν παρρησίᾳ ὁμολογήσας
τὸν χ(ριστό)ν· καὶ ἑαυτὸν ἅμα καὶ κηρύξας χριστιανόν. πρῶ-
τον μὲν τῇ τοῦ ἄρχοντος προστάξει ἀπερρίφη
ἐν τῇ λίμνῃ· ἐπειδὴ ἐκ τῆς λίμνης ζῶν ἐξελ-
θών. εἰς κάμινον ἐμβάλλεται πυρός· καὶ ἐκ ταύ-
της διασωθεὶς παραδόξως. ἀπεκεφαλίσθη· καὶ τὸ μὲν
πν(εῦμ)α αὐτοῦ. ἀνῆλθεν ἐν τοῖς οὐ(ρα)νοῖς· τὸ δὲ λείψανον ἀπεδόθη τῇ γῇ·

Μηνὶ τῷ αὐτῷ κθ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου
καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ. ἐκ τῆς πόλεως Δα-
μασκοῦ· γένους περιφανοῦς καὶ ἐνδόξου καὶ πλουσίου·
Ἔτυχε δὲ φιλαρέτου πατρός· καὶ ἐξεπαιδεύθη πᾶσαν
τὴν ἑλληνικὴν παίδευσιν· ἀλλὰ καὶ τὴν θείαν
γραφήν· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν· τὸν πατρικὸν
πλοῦτον καταλιπών, γέγονε μοναχὸς μετὰ καὶ Κο-
σμᾶ οὗτινος πολὺς ὁ λόγος τῶν ἐν ταῖς ἁγίαις ἑορ-
ταῖς ποιημάτων καὶ μελῳδιῶν· καὶ μάλιστα ἐν τῇ
ἁγίᾳ μεγάλῃ ἑβδομάδι τοῦ ἁγίου πάσχα· οὗτος ὁ ὅσιος
Ἰωάννης τῇ τῶν λόγων αὐτοῦ δυνάμει· καὶ ταῖς ἐκ
τῶν γραφῶν ἀποδείξεσι. κατῄσχυνε τὴν τῶν εἰκο-
νομάχων αἵρεσιν· ὅθεν καὶ διαφόρως ἐξορισθεὶς
παρὰ τῶν αἱρετικῶν βασιλέων· καὶ φυλακαῖς πα-
ραδοθεὶς καὶ ἐν μάνταις τῇ κακουχίᾳ ταλαιπωρηθείς.
ἐν καλῇ ὁμολογίᾳ ἐτελειώθη· ταφεὶς ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ.

Men. Ioannis Damasceni I. K

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος
Φιλουμένου·

Φιλούμενος ὁ μάρτυς ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέ-
ως. ἀπὸ χώρας τῆς Λυκαονίας· πραγματευόμενος
καὶ σῖτον κομίζων ἐν τῇ χώρᾳ τῆς Ἀγκύρας τῆς Γα-
λατίας· χριστιανὸς δὲ ὤν. διαβάλλεται τῷ ἄρχοντι
Ἀγκύρας· καὶ παραστὰς τῷ κριτηρίῳ αὐτοῦ· καὶ τὸν
Χριστὸν ὁμολογήσας Θεὸν εἶναι τοῦ παντὸς καὶ Κύριον. πρῶ-
τον μὲν ἡλοῦται τοὺς πόδας καὶ τὰς χεῖρας ἥλοις
σιδηροῖς. καὶ βασανίζεται· ἔπειτα κρεμασθείς.
μετὰ τοῦ σπαθίου ξέεται· καὶ τοῦ ξύλου ἀποκατα-
[illegible]ασθείς. εἰς φοῦρνον ἐκ πυρὸς θερμανθέντα ἐμβάλλε-
ται· ἐκ τούτων δὲ τῇ τοῦ Θεοῦ δυνάμει ἀβλαβὴς
διαφυλαχθείς· καθηλοῦται αὖθις τοὺς πόδας
καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. καὶ ἐπὶ τριάκον-
τα σταδίους ἐλαύνεται· ὡς λιποψυχήσας ἀπὸ τοῦ
πολλοῦ δρόμου καὶ τοῦ τοσούτου κόπου τὴν μακα-
ρίαν αὐτοῦ ψυχὴν παρέδωκε τῷ Θεῷ. διὸ μεμαρτύρηκεν·

29 Nou. Philumeni Mart. e Lycaon:

214

Μηνὶ τῷ αὐτῷ λ'. ἄθλησις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἀνδρέου, ἀδελφοῦ τοῦ μεγάλου Πέτρου.

Οὗτος ἀδελφὸς γνήσιος ὑπάρχων τοῦ μεγάλου ἀποστόλου Πέτρου. μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκήρυξεν εἰς πᾶσαν τὴν παράλιον τῆς Βιθυνίας καὶ τοῦ Πόντου καὶ τῆς Θρᾴκης καὶ τῆς Σκυθίας. μετὰ δὲ ταῦτα ἀπῆλθεν ἐν Σεβαστουπόλει τῇ μεγάλῃ, ἐν ᾗ παρεμβάλλουσιν ὅ τε Ἄψαρος καὶ ὁ Φᾶσις οἱ ποταμοί, οὗτινος Φάσιδος ἐσώτεροι οἱ Αἰθίοπες κατοικοῦσιν. εἶτα ἀπῆλθεν ἐν Πάτραις τῆς Ἀχαΐας εἰς Πελοπόννησον, καὶ ἐσταυρώθη ὑπὸ Αἰγεάτου τοῦ ἀνθυπάτου· καὶ οὕτως ἐτελειώθη. τὸ δὲ ἱερὸν αὐτοῦ λείψανον πρότερον μὲν ἐτέθη ἐν Πάτραις τῆς Ἀχαΐας· ὕστερον δὲ ἀνακομισθὲν προστάξει τοῦ βασιλέως Κωνσταντίνου παρὰ τοῦ ἁγίου Ἀρτεμίου ἐν Κωνσταντινουπόλει κατετέθη, μετὰ τῶν ἁγίων ἀποστόλων Λουκᾶ καὶ Τιμοθέου ὑπὸ τὴν ἱερὰν τράπεζαν τῶν ἁγίων ἀποστόλων, μύρον ἰαμάτων χαρί-

30 Nov. Andrea Ap. …

ΜΗΝΙ ΔΕΚΕΜΒΡΙΩ Α. ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ ΝΑΟΥΜ

Ὁ ἅγιος καὶ ἔνδοξος προφήτης Ναούμ. ἐγένετο ἀπὸ τῆς
φυλῆς Συμεών· ἐκ τῆς χώρας τῶν Ἰουδαίων· [illegible] θεοῦ.
ἐδέξατο παρὰ θεοῦ προφητείας χάρισμα· καὶ προεφήτευ-
σε κατὰ Νινευὴ τῆς πόλεως μετὰ τὸ προφητεῦσαι κατ' αὐ-
τῆς πρότερον τὸν Ἰωνᾶν. καὶ εἶπεν ὅτι μέλλει ἡ Νινευὴ
ὑπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ἀφανισθῆναι· ὃ καὶ γέγο-
νε· τῇ γὰρ κελεύσει τοῦ θεοῦ διὰ τὰς ἁμαρτίας αὐτῶν· ἡ
περιέχουσα τὴν Νινευὴ λίμνη· σεισμοῦ γενομένου. κατε-
πόντισεν αὐτήν· καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθόν. τὸ ἐναπο-
μεῖναν μέρος αὐτῆς κατέκαυσε· καὶ μετὰ τὸ προφη-
τεῦσαι πάντα ταῦτα. ἀπέθανε· καὶ ὑπὸ τῶν συγγενῶν
αὐτοῦ. ἐτάφη τὸ λείψανον αὐτοῦ ἐντίμως ἐν τῇ γῇ αὐ-
τοῦ· ἦν δὲ ὅτε ἐτελεύτησεν. ἐτῶν τεσσαράκοντα καὶ
πέντε· εἶχεν δὲ γένειον μέσον στρογγύλον· ἰσχνὸν
πρόσωπον· ἁπλὰς τρίχας· ἦν δὲ καὶ ὑποφαλ-
ακρος· καὶ τὴν κεφαλὴν ἔχων [illegible]·

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀνανίου.

Ἀνανίας ὁ μάρτυς ὥρμητο μὲν ἀπὸ τῆς χώρας τῶν περσῶν· ἦν δὲ λαϊκός· ἀλλὰ χριστιανός· καὶ διὰ τοῦτο πιάσαντες αὐτὸν οἱ πέρσαι, ἐβασάνισαν ἰσχυρῶς· καὶ ἀπὸ τοῦ πολλοῦ δαρμοῦ, ἐγένετο ὡς νεκρὸς ὀλίγον ἀναπνέων· καὶ κείμενος, ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ εἶπε πρὸς τοὺς παρατυχόντας ἐκεῖ· ἐγέρθητε καὶ ποιήσατε πρὸς τὸν θ(εὸ)ν ἀλλαλαγμόν· ἰδοὺ γὰρ θεωρῶ σκάλαν φθάνουσαν εἰς τὸν οὐρανόν· καὶ πυροειδεῖς ὡσεὶ τινὰς ἄνδρας λέγοντάς μοι· ἔλθε μεθ᾽ ἡμῶν· καὶ εἰσάγομέν σε εἰς πόλιν πεπληρωμένην χαρᾶς καὶ εὐφροσύνης καὶ φωτός· καὶ ταῦτα εἰπὼν, ἐξέπνευσε· καὶ ἡ μὲν ἁγία αὐτοῦ ψυχὴ, ἀνῆλθεν εἰς τὴν ἄνω πόλιν καθὼς ἐθεάσατο· τὸ δὲ λείψανον αὐτοῦ κατάκειται ἐν περσίδι, ἐκδεχόμενον τὴν φοβερὰν καὶ τελευταίαν ἀνάστασιν, ὅτε καὶ αὐτὸ μέλλει ἀναστῆναι μετὰ πάντων. καὶ ἀπολαῦσαι τῆς ἀθανάτου βασιλείας χ(ριστο)ῦ τοῦ θ(εο)ῦ ἡμῶν.

Dec. Ananie Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου προφήτου Ἀμβακούμ·

Καὶ οὗτος ἐκ τῆς γενεᾶς τοῦ Συμεὼν γεγονὼς, ἀπὸ τῆς χώρας τῶν Ἰουδαίων· προεφήτευσε δὲ περὶ τῆς αἰχμαλωσίας καὶ καταστροφῆς τῆς Ἱερουσαλὴμ πόλεως τῶν Ἑβραίων, καὶ τῆς [illegible] καὶ δουλείας τοῦ λαοῦ· ὅτε δὲ Ναβουχοδονόσορ ὁ βασιλεὺς τῶν Περσῶν ἦλθε κατὰ τῆς Ἱερουσαλὴμ, ἔφυγε καὶ ἀπελθὼν εἰς ξένην γῆν· ὡς δὲ ὑπέστρεψαν οἱ Πέρσαι, καὶ οἱ ἀπομείναντες Ἰουδαῖοι κατέφυγον εἰς Αἴγυπτον, ἦλθε δὲ καὶ αὐτὸς εἰς τὴν γῆν αὐτοῦ· καὶ ἐδούλευε θερισταῖς τοῦ χωραφίου· ἔμελλε δὲ τὸ ἄριστον ἀπάγειν τοῖς θερισταῖς. καὶ εἶπε τοῖς ἰδίοις αὐτοῦ· ἐγὼ ὑπάγω μακράν· καὶ ἐὰν βραδύνω, κομίσατε τροφὴν τοῖς θερισταῖς· ταῦτα εἰπὼν, ὑπὸ ἀγγέλου ἀπενεχθεὶς εἰς Βαβυλῶνα· [illegible] καὶ ἔδωκε τὴν τροφὴν τῷ προφήτῃ Δανιὴλ ἐγκεκλεισμένῳ ἐν τῷ λάκκῳ. καὶ πάλιν ἔφθασε, καὶ ἀπεκόμισε τοῖς θερισταῖς ἔφερον ἄριστον [illegible] τὸν ἀγρόν· προφητεύσας δὲ καὶ ἕτερα πολλὰ ἐτελεύτησε καὶ ἐτάφη.

2 Du. Abacue Profeta

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβίβου ⁘

Ἐπὶ τῆς βασιλείας Λικιννίου τοῦ βασιλέως. ὑπῆρχεν οὗτος
διάκονος καὶ διδάσκαλος τῆς τοῦ Χριστοῦ ἐκκλησίας· διδάσκων
πάντας τοὺς προσερχομένους αὐτῷ. τὸν λόγον τῆς ἀληθεί-
ας· τοῦτο μαθὼν ὁ βασιλεὺς καὶ ὀργισθείς. ἀποστείλας ἐκρά-
τησεν αὐτὸν καὶ βασανίσας [illegible]· ἔπειτα ἀνάψας κάμινον
μεγάλην. ἐν αὐτῇ ἐνέβαλεν· ἐν ᾗ καὶ ψάλλων καὶ εὐχαρι-
στῶν ὁ ἅγιος. τὸ τέλος ἐδέξατο· οἱ δὲ χριστιανοὶ περι[illegible]-
κόντες. καὶ μετὰ μύρων καὶ θυμιαμάτων ἀλείψαντες.
ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς κατέ-
θηκαν μετὰ τῶν ἁγίων ὁμολογητῶν Γουρία καὶ Σαμωνᾶ.
[illegible]ων τὸ θαῦμα ποιησάντων τῆς κόρης· ἣν ὁ Γότθος
ἀπατήσας καὶ πλανήσας δι' ὅρκων ἔχειν γυναῖκα.
[illegible] ποίηκε δούλην· ἔπειτα καὶ εἰς τάφον ζῶσαν ἐνέ-
κλεισεν· ἀλλ' οὗτοι οἱ ἅγιοι· ἐπειδὴ ἠντιφώνησαν αὐτήν·
εἰς γὰρ τὸν ναὸν αὐτῶν ὤμοσεν ὁ Γότθος καὶ οὕτως
ἔλαβε τὴν κόρην. ἐλυτρώσαντο αὐτὴν τοῦ θανάτου⁘

Dec. Abibas Mar.

✠ Μηνὶ τῷ αὐτῷ γ΄. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου ἐπισκόπου Ἀλεξανδρείας.

Οἱ ἐν Ἀλεξανδρείᾳ τῆς Αἰγύπτου ἄνθρωποι· καὶ μάλιστα οἱ Ἕλλη-
νες καὶ ἄπιστοι. πικροὶ καὶ δύσκολοι καὶ ὠμοὶ γένονται εἰς
τοὺς ἁγίους· καὶ διὰ τοῦτο καὶ πολλοὺς μάρτυρας ἀπειρ-
γάσαντο· ἐξ ὧν ἁγίων μαρτύρων ἐγένετο καὶ οὗτος ὁ ἅ-
γιος Θεόδωρος· μαθόντες γὰρ οἱ τῶν Ἀλεξανδρέων λα-
οί· ὅτι οὗτος ὁ ἅγιος Θεόδωρος· ὁμολογεῖ τὸν Χ(ριστὸ)ν καὶ πιστεύει
εἰς αὐτόν· καὶ διδάσκει τοὺς Ἕλληνας ἔχειν αὐτὸν Θ(εὸ)ν. μετὰ
πικρίας συνέδραμον πρὸς αὐτόν· καὶ πιάσαντες αὐτόν.
πρῶτον μὲν ἐτιμωρήσαντο ἰσχυρῶς· ἔπειτα πλέξαντες
στέφανον ἐξ ἀκανθῶν. ἐστεφάνωσαν αὐτόν· καὶ ἔνυττον εἰς
τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ διέβαλον καὶ ἐνέβαλον ζέον· εἶτα
δεθεὶς ἐρρίφη ἐν τῇ θαλάσσῃ· καὶ ἐξ αὐτῆς ὑγιὴς ἐξελθών.
τῇ προστάξει τοῦ ἄρχοντος ἀπεκεφαλίσθη· καὶ τὸ μὲν
ἱερὸν καὶ μακάριον αὐτοῦ πνεῦμα. ἀνῆλθεν ἐν τοῖς οὐρανοῖς· τὸ
δὲ τίμιον λείψανον κατετέθη ἐν αὐτῇ τῇ πόλει Ἀλεξανδρεί-
ας· ἰάματα παρέχον τοῖς προσερχομένοις αὐτῷ ἕως τοῦ νῦν.

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Σοφονίου·

Καὶ οὗτος ὁ ἅγιος καὶ ἔνδοξος προφήτης Σοφονίας· ἐκ τοῦ γένους ἦν τοῦ Συμεών· τοῦ υἱοῦ τοῦ πατριάρχου Ἰακώβ. ἀδελφοῦ δὲ τοῦ Ἰωσὴφ τοῦ πανκάλου· ποιῶν δὲ τὸ θέλημα τοῦ Θ(εο)ῦ· καὶ πορευόμενος ἐν ταῖς ἐντολαῖς αὐτοῦ. ἐδέξατο προφητείας χάρισμα· καὶ προεφήτευσε περὶ τῆς ἁλώσεως καὶ ἐρημώσεως τῆς Ἱερουσαλήμ. καὶ περὶ τοῦ τέλους καὶ τῆς καταλύσεως τῶν Ἰουδαίων· καὶ ὅτι ἐξολοθρευθέντων τῶν Ἑβραίων. γενήσεται περιούσιος λαὸς τοῦ Θ(εο)ῦ ἐξ ἐθνῶν· καὶ ἔσται αἰσχύνη μὲν τῶν ἀσεβῶν. δόξα δὲ τῶν δικαίων· καὶ γενήσεται κριτὴς καὶ βασιλεὺς πάσης τῆς γῆς Χ(ριστὸ)ς ὁ Κ(ύριο)ς· καὶ ἀνταποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗτος μετὰ τὸ ταῦτα πάντα προφητεῦσαι ἀπέθανεν. ἐτάφη ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ κατάκειται τὸ σῶμα αὐτοῦ. ἐκδεχόμενον τὴν τελευταίαν ἀνάστασιν· ἦν δὲ ὅμοιος Ἰωάννη τῷ θεολόγῳ· μικρὸν τὸ γένειον στρογγυλώτερον ἔχων·

3 Dec.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου Θεοδούλου.

Ὁ ὅσιος Θεόδουλος, γέγονεν ἀπὸ Κύπρου τῆς νήσου. ποθήσας δὲ τὸν κόσμον καταλιπών, καὶ τὸν Χριστὸν ἀγαπήσας ἀπὸ ψυχῆς, ἐγένετο μοναχός. καὶ τοσοῦτον τοῦ Χριστοῦ τὴν πτωχείαν ἠγάπησε, καὶ τὴν ταπείνωσιν, καὶ τὴν ἀκτημοσύνην, ὥστε ἀντὶ στρωμάτων ἁπαλῶν λίθους ἔχειν καὶ ἐν αὐτοῖς ἐπαναπαύεσθαι. οὕτως δὲ καταδαπανήσας τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς πολλῆς ἐγκρατείας καὶ τῆς χαμευνίας, ἐδέξατο καὶ χαρίσματα τρία. καὶ πρῶτον χάρισμα, τὸ προγινώσκειν πάντων τῶν ἀνθρώπων τοὺς λογισμούς. ἐὰν γάρ τις προσῆλθεν αὐτῷ ἁμαρτίαν [illegible], ἤλεγχεν αὐτόν, καὶ τὸ ἀπόκρυφον τοῦ λογισμοῦ αὐτοῦ ἐλάλει αὐτῷ. σχηματισάμενος δὲ ἑαυτῷ μωρίαν, ἤλεγχεν ἑκάστου τὰς πράξεις, καὶ ἐπέστρεφε πρὸς μετάνοιαν. οὕτως ζήσας καὶ πολλοὺς σώσας διὰ τοῦ τρόπου καὶ τῆς διδασκαλίας αὐτοῦ, ἐν εἰρήνῃ ἀπέθανε. καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ Κύπρῳ βρύον ἰάματα.

3 Dec Theodoli e Cypr

Μηνὶ τῷ αὐτῷ δ΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Βαρβάρας.

Ἡ ἁγία μάρτυς Βαρβάρα. ἐγένετο ἀπὸ τῆς ἀνατολῆς·
θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος. ἐπὶ τοῦ Μαξιμια-
νοῦ τοῦ παρανόμου βασιλέως. ὁ δὲ πατὴρ αὐτῆς διὰ
τὸ εἶναι αὐτὴν εὔμορφον· ἵνα μὴ ἁρπάσῃ τις αὐτήν. ἐ-
ποίησε πύργον ὑψηλόν. καὶ ἀπέκλεισεν αὐτὴν ἐν αὐτῷ·
Καὶ ἔδωκεν αὐτῇ καὶ εἴδωλα. ἵνα προσκυνῇ· ἐκείνη
δὲ τὰ εἴδωλα συντρίψασα. τὸν Χριστὸν ἐπόθει καὶ ἐσέβετο·
ἐξουσίᾳ λουτρὸν κτίζοντος τοῦ πατρὸς αὐτῆς· καὶ διατα-
ξαμένου τοῖς τεχνίταις μίαν θυρίδα ποιῆσαι· ὑποχωρή-
σαντος αὐτοῦ. ἐκείνη ἀπὸ τοῦ πύργου παρακύψασα. τρεῖς
θυρίδας διετάξατο γενέσθαι· εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· διαγνωσθεῖσα δὲ παρὰ τοῦ πατρὸς ὡς
χριστιανή. παρεδόθη τῷ ἄρχοντι καὶ ἐτιμωρήθη· εἶτα
φυγοῦσα. ἀνῆλθεν εἰς τὸ ὄρος· καὶ καταδραμὼν αὐτὴν ὁ
πατὴρ αὐτῆς καὶ εὑρών. οἰκείαις χερσὶν ἀπεκεφάλισεν· κατερχό-
μενος δὲ ἐκ τοῦ ὄρους. κατεκάη ὑπὸ πυρὸς ἐκ τοῦ οὐρανοῦ κατενεχθέντος·

✠ Μηνὶ τῷ αὐτῷ ε'. Μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Σάβα

Ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ ἐγένετο οὗτος
ὁ ἅγιος Σάβας, ἀπὸ τῆς χώρας Καππαδοκίας· υἱὸς
Ἰωάννου καὶ Σοφίας· μικρὸς δὲ ὢν ἔτι τὴν ἡλικίαν,
καταλιπὼν καὶ τοὺς γονεῖς καὶ τὸν κόσμον, ἀπελθὼν
ἐγένετο μοναχός· ἐπιθυμῶν δὲ πλειόνων ἀγώνων·
καὶ μείζονος ἀρετῆς, ἀπῆλθε καὶ εἰς τὴν μεγάλην ἔρη-
μον· καὶ παρ' ἐκείνου πεμφθεὶς εἰς τὸ κάτω μοναστή-
ριον, πρὸς τὸν ἅγιον Θεόκτιστον· καὶ τοσοῦτον ἠγωνίσα-
το εἰς ἀρετήν, ὡς μὴ μόνον νικῆσαι πάντας τοὺς μονά-
ζοντας· ἀλλὰ καὶ γνώριμος γενέσθαι τοῖς βασιλεῦ-
σιν, Ἀναστασίῳ καὶ Ἰουστινιανῷ· καὶ γὰρ καὶ εἰς αὐτοὺς
ἀπεστάλη μεσίτης, παρὰ τῶν πατριαρχῶν Ἱεροσολύ-
μων· πολλοὺς δὲ διδάξας τὴν ἀρετήν· καὶ πολλὰ
μοναστήρια συστησάμενος· καὶ θαύματα οὐκ ὀλίγα
ἐργασάμενος· ὡς καὶ ὕδωρ τῆς γῆς ἐξαγαγεῖν· ὀγδοή-
κοντα πέντε ἐτῶν γενόμενος, πρὸς κ(ύριο)ν ἐξεδήμησεν.

✠ μηνὶ τῷ αὐτῷ ϛ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας·

Ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου ἀκμάζοντος
ὁ μέγας ἀρχιερεὺς καὶ θαυματουργός. ἐπίσκοπος εἰς τὰ
Μύρα Λυκίας· πρότερον γενόμενος μοναχός. καὶ πολλὰ
ἀγωνισάμενος εἰς ἀρετήν· ἐπειδὴ ἐπίσκοπος προεχειρί-
σθη. πολλὰ θαύματα ἐποίησεν· ἠλευθέρωσε δὲ καὶ
τρεῖς ἄνδρας ἐκ τοῦ θανάτου· ἐλοιδορήθησαν γὰρ οὗτοι·
καὶ ἐδέθησαν καὶ ἔμελλον ἀποκεφαλίζεσθαι· ἀλλ' αὐτὸς
ἔδραμε καὶ ἐκράτησε τὸ σπαθίον· καὶ ἐπῆρεν αὐτὸ ἐκ
τῶν χειρῶν τοῦ δημίου. καὶ ἀπέλυσεν αὐτούς· καὶ ἄλλο-
τε πάλιν ἐλοιδορήθησαν ἄλλοι τρεῖς πρὸς τὸν βασιλέα
Κωνσταντῖνον ὑπὸ τοῦ ἐπάρχου Ἀβλαβίου ὡς ἐπίβουλοι.
καὶ ἀπεκλείσθησαν εἰς τὸ πραιτώριον· καὶ ὅτε ἔμελλον
ἀποκεφαλισθῆναι· παρεκάλεσαν τὸν ἅγιον Νικόλαον· ὃς
ἦλθεν ἐν Κωνσταντίνου πόλει ἐν ὀνείρῳ. καὶ παρήγ-
γειλε τῷ βασιλεῖ καὶ τῷ ἐπάρχῳ. καὶ ἀπέλυσαν αὐτούς·
καὶ ἄλλα πολλὰ θαύματα ποιήσας, ἐν εἰρήνῃ ἐτελειώθη·

✠ Μηνὶ τῷ αὐτῷ ζ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων.

Ἀμβρόσιος ὁ θαυμάσιος ἄρχων ἐκ τῆς πόλεως Ῥώμης συγ-
κλητικὸς ἐπὶ τῶν χρόνων τῶν υἱῶν τοῦ μεγάλου Κωνσταν-
τίνου, Κωνσταντίου καὶ Κώνσταντος· διὰ δὲ τὴν πολλὴν
αὐτοῦ ἀρετὴν καὶ δικαιοσύνην, ἐπίσκοπος γίνεται Μεδιο-
λάνων· καὶ διήρκεσεν ἕως τῶν χρόνων τοῦ μεγάλου Θεο-
δοσίου· ζῆλον δὲ ἔχων θεϊκὸν καὶ ἐλευθέραν ψυχήν· ὅτε
εἶδε τὸν μέγαν Θεοδόσιον πικρανθέντα καὶ ἀποστείλαν-
τα στρατὸν καὶ σφάξαντα τὸν ἐν Θεσσαλονίκῃ λαόν, ἐπι-
δημήσαντα εἰς τὸ Μεδιόλανον· εἰσελθόντα εἰς τὴν ἑορ-
τὴν τῶν Χριστοῦ γεννῶν εἰς τὴν ἐκκλησίαν καὶ ζητοῦντα καὶ κοινω-
νῆσαι τῶν ἀχράντων μυστηρίων, ἐκώλυσεν αὐτὸν καὶ οὐ
καθῆκεν εἰσελθεῖν εἰς τὸ βῆμα· εἰπὼν ὅτι φονεύσας καὶ
μιάνας τοσούτων ὁμοφύλων χεῖρας αἵματι, ἡ ἐκκλησία τοῦ
Θεοῦ οὐ δέχεται· τὸν δὲ ἅγιον ἐθαύμασεν ὁ βασιλεὺς καὶ ἐτίμησε.
Καὶ ὑπεχώρησεν· εἰπὼν ὅτι ἀληθῶς ἀρχιερεύς ἐστι· πολ-
λὰ δὲ καὶ ἄλλα μνήμης ἄξια ποιήσας, θανὼν ἐτάφη.

Μηνὶ τῷ αὐτῷ η'. ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀθηνοδώρου.

Οὗτος ὁ ἅγιος ὡρμᾶτο ἀπὸ Μεσοποταμίας τῆς Συρίας· μοναχὸς
ἀσκητὴς καὶ φοβούμενος τὸν Θεόν. ἐπὶ Διοκλητιανοῦ τοῦ βασι-
λέως· διαβληθεὶς δὲ παρὰ τῶν εἰδωλολατρῶν ὅτι τὸν Χριστὸν
ἔχει Θεόν, ἐκρατήθη παρὰ Ἐλευσίου ἄρχοντος· καὶ δεθεὶς
μετὰ χοινίων μέσον δύο σφύρων, ὑπὸ κηρίων ἀπτομένων κα-
τεκαίη· εἶτα σίδηρα σφαιρώματα πυρώσαντες ὑποβαλόμενοι εἰς
τὰς μασχάλας αὐτοῦ· καὶ μετὰ τοῦτο ἐπύρωσαν τήγανον χαλ-
κοῦν μέγαν ἴσον θύρᾳ, καὶ ἥπλωσαν αὐτὸν ἐπάνω· καὶ αὖθις
ἐν μέσῳ ἰδίῳ χαλκῷ πυρακτωθέντι ἐμβάλλεται· λυτρωθεὶς
δὲ ἐκ πάντων τούτων ὑπὸ Θεοῦ ἀγγέλων, ἐπεσπάσατο πρὸς
τὴν τοῦ Χριστοῦ πίστιν ὀγδοήκοντα ἄνδρας· καὶ ἐποίησε πάντας
χριστιανούς· προσέταξε δὲ ὁ ἄρχων ἀποκεφαλισθῆναι αὐ-
τόν· καὶ τοῦ δημίου τὸ σπαθίον γυμνώσαντος, καὶ μέλλον-
τος αὐτὸν ἀποκεφαλίσαι, ἡ χεὶρ αὐτοῦ ἀπὸ τοῦ ὤμου κο-
πεῖσα ἐκράτουσα τὸ σπαθίον. μετὰ τοῦ σπαθίου ἔπεσεν ἐπὶ
τὴν γῆν· ἑτέρου δὲ μὴ τολμήσαντος ἅψασθαι αὐτοῦ, αὐτὸς ἐτελειώθη.

8 Dec. *Athenodori Mart. e Mesopotamia Syriæ.*

220

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ. Η ΣΥΛΛΗΨΙΣ ΤΗΣ ΑΓΙΑΣ ΑΝΝΗΣ
ΤΗΣ ΜΡΣ ΤΗΣ ΘΚΟΥ:

Ὁ κς ἡμῶν καὶ θς· θελήσας ἑτοιμάσαι ἑαυτῷ ναὸν ἔμψυχον
καὶ οἶκον ἅγιον· εἰς κατοικίαν ἑαυτοῦ, τὸν ἄγγελον αὐτοῦ ἀ-
πέστειλε πρὸς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν. ἐξ ὧν
ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα μρα αὐτοῦ· Καὶ
προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας· ἵνα γέ-
νηται ὥσπερ τῆς παρθένου τὴν γέννησιν· ὅθεν συνελήφθη
ἡ ἁγία παρθένος Μαρία· καὶ ἐγεννήθη. οὐχ ὡς λέγουσί τι-
νες ὅτι ἑπτάμηνος ὤν· ἢ ὅτι χωρὶς ἀνδρός· ἀλλὰ τελείως
ἐννεάμηνος ἐγεννήθη· καὶ ἐξ ἐπαγγελίας μέν· ἐκ συ-
ναφείας δὲ ἀνδρός· μόνος γὰρ ὁ κς ἡμῶν καὶ θς ἰς χς
ἄνευ ἀνδρὸς καὶ χωρὶς συναφείας καὶ σπορᾶς ἐγεννή-
θη ἐκ τῆς ἁγίας παρθένου, ἀπορρήτως καὶ ἀνερμηνεύ-
τως ὡς οἶδεν ἐκεῖνος μόνος· καὶ τέλειος ὑπάρχων
θς, πάντα τὰ αὐτοῦ τῆς κατὰ σάρκα οἰκονομίας,
τέλεια προσελάβετο· καθὼς καὶ τὴν τῶν ἀνθρώπων
φύσιν ἐδημιούργησε καὶ ἔπλασε τὸ κατ' ἀρχάς:

9 Dec. Conceptio Annae [illegible] Virginis [illegible]

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Ἰωάννου γενομένου πρότερον ἐπισκό(που) εἶτα ἡσυχαστοῦ τῆς λαύρας τοῦ ἁγίου Σάβα.

Ἰωάννης ὁ τοῦ Χ(ριστο)ῦ θεράπων. ἐγεννήθη ἐν Νικοπόλει τῆς Ἀρμενίας· μετὰ δὲ θάνατον τῶν γονέων αὐτοῦ· ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ· ἔδωκε τὸν πλοῦτον αὐτοῦ τοῖς πτωχοῖς. καὶ ἐγένετο μοναχός· διὰ δὲ τὴν ἀρετὴν αὐτοῦ ἐποίησεν αὐτὸν ἐπίσκοπον Κολωνείας. ὁ ἀρχιεπίσκοπος Σεβαστείας· καὶ ἐπεσκόπησεν ἔτη δέκα· εἶτα ἀφεὶς τὴν ἐπισκοπὴν αὐτοῦ. ἀπῆλθεν εἰς τὰ Ἱεροσόλυμα· καὶ ἡσύχασεν εἰς τὴν λαύραν τοῦ ἁγίου Σάβα· τοσοῦτον δὲ ἐγένετο ἐνάρετος· ὅτι ποτὲ περιπατῶν· καὶ κοπιάσας. ἐπήρθη ὑπὸ δυνάμεως Θ(εο)ῦ· καὶ εὑρέθη ἐξαίφνης εἰς τὸ κελλίον αὐτοῦ. τῆς ἐμμέσου ὁδοῦ οὔσης μιλίων πέντε· ἀλλὰ καὶ ὅτε ἦλθον οἱ Πέρσαι κατὰ τῆς χώρας ἐκείνης· καὶ ἀπῆλθον καὶ εἰς τὴν λαύραν. ἐφυλάχθησαν καὶ οἱ κείμενοι πρὸς τὸ κελλίον αὐτοῦ· ᾐτήσατο δὲ τὸν Θ(εὸ)ν ἰδεῖν πῶς χωρίζεται ἡ ψυχὴ ἀπὸ τοῦ σώματος. καὶ ἔδειξεν αὐτῷ· ζήσας δὲ τὰ πάντα ἔτη ἑκατὸν τέσσαρα, ἐτελειώθη.

3 Dec. Joannes Epi. qui postea secessit ad Lauram S. Sabe

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα· Σωσθένους· Ἀπολλὼ· Κηφᾶ· Τυχικοῦ· Ἐπαφροδίτου· Καίσαρος. καὶ Ὀνησιφόρου·

Τούτων τῶν μακαρίων ἀποστόλων· ὁ μὲν Σωσθένης· οὗτινος ὁ θεῖος ἀπόστολος Παῦλος μέμνηται. ἐπίσκοπος Κολοφῶνος ἐγένετο· ὁ δὲ Ἀπολλὼς οὗτινος καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται· ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ. ἐπίσκοπος Καισαρείας ἐγένετο· ὁ δὲ Τυχικός· οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται. δεύτερος ἐπίσκοπος μετὰ Σωσθένην. Κολοφῶνος ἐγένετο· ὁ δὲ Ἐπαφρόδιτος οὗτινος καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται. ἐπίσκοπος Ἀδριάκης ἐγένετο· ὁ δὲ Καῖσαρ· οὗ καὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος μέμνηται. ἐπίσκοπος Κορώνης γέγονεν· οὗτοι πάντες καλῶς πολιτευσάμενοι· καὶ ὁσίως ποιμάναντες καὶ κυβερνήσαντες τὰς λαχούσας αὐτοῖς ἐκκλησίας καὶ τὸν λαόν· καὶ πολλοῖς πειρασμοῖς καὶ βασάνοις ὑπομείναντες ὑπὲρ Χριστοῦ· παρὰ τῶν εἰδωλολατρῶν. ἐτελειώθησαν· παραδόντες τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ· ὑπὲρ οὗ προθύμως ἐσφάγησαν·

32

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πρς ἡμῶν Πα-
ταπίου:

Ὅσιος πατὴρ ἡμῶν Πατάπιος, ἦν μὲν ἀπὸ Θηβῶν τῆς Αἰγύπτου·
γενόμενος δὲ μοναχός, ἀπῆλθεν εἰς τὴν ἔρημον. καὶ ἡ-
σύχασε πολλοῖς χρόνοις· εἶτα τὴν ἔρημον καταλιπών.
παρεγένετο εἰς Κωνσταντινούπολιν· ἔνθα πολλὰ κα-
τειργάσατο θαύματα· τυφλοῖς ἀναβλέψαι διὰ προσευ-
χῆς ἐποίησε· καὶ ὑδρωπικὸν διὰ χρίσεως ἁγίου ἐλαί-
ου ἐθεράπευσε· καὶ ἕτερον ἔχοντα καρκῖνον, ἰάσατο· ὅ-
περ πάντες οἱ ἰατροὶ λέγουσιν εἶναι πάθος ἀνίατον· καὶ δαί-
μονας οὐ μόνον ἐξ ἀνθρώπων, ἀλλὰ καὶ ἐκ τόπων πολλῶν ἐμπί-
πτοντας τοῖς ἀνθρώποις, ἀπήλασε καὶ ἐδίωξε· καὶ ἄλλα πολ-
λὰ θαύματα ἐποίησε μνήμης καὶ συγγραφῆς ἄξια· τοι-
οῦτος δὲ γενόμενος· καὶ παρὰ βασιλέων καὶ πατριαρχῶν
τιμώμενος· καὶ ὑπὸ πάντων διὰ τὴν ἀρετὴν αὐτοῦ ἀγα-
πώμενος· ἐν εἰρήνῃ τὸ τέλος τοῦ παρόντος βίου ἐδέ-
ξατο· καὶ παρέδωκε τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ·
τὸ δὲ τίμιον αὐτοῦ λείψανον κατετέθη ἐν Κωνσταντινουπόλει:

233

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σωφρονίου ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου.

Ὁ ὅσιος πατὴρ ἡμῶν Σωφρόνιος, ἐγένετο ἀπὸ τῆς Κύπρου τῆς μεγάλης νήσου. χριστιανῶν καὶ εὐλαβῶν γονέων υἱός· ἦν δὲ ἐν φύσει πολυμαθής· ἀναγνοὺς δὲ πᾶσαν τὴν θείαν γραφήν, καὶ μελετήσας ταύτην νύκτας καὶ ἡμέρας· τοσοῦτον δὲ ἐγένετο ἐνάρετος καὶ εὐλαβής, ὥστε καὶ μεγάλων χαρισμάτων ἀξιωθῆναι· καὶ πολλὰ θαύματα ποιῆσαι· διὸ καὶ μετὰ θάνατον Δαμιανοῦ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κύπρου, ὑπὸ τοῦ λαοῦ παντὸς καὶ τῶν ἐπισκόπων, προχειρίζεται ἀρχιεπίσκοπος τῆς ἐν Κύπρῳ ἁγιωτάτης ἐκκλησίας· παραλαβὼν δὲ τὴν ἐκκλησίαν, ἐγένετο πενήτων χορηγός· ὀρφανῶν βοηθός· χηρῶν προστάτης· καταπονουμένων λυτρωτής· γυμνῶν σκέπη· οὗτος δὲ ἐν ὅλῳ τῷ βίῳ αὐτοῦ ἀπρόσκοπος καὶ ἄμεμπτος φανεὶς τῷ θεῷ, καὶ πάσας τὰς ἐντολὰς αὐτοῦ κατὰ δύναμιν ἐκπληρώσας, ἐν βαθυτάτῳ γήρᾳ πρὸς κύριον ἐξεδήμησεν.

✠ μηνὶ τῷ αὐτῷ ι'. ἄθλησις τῶν ἁγίων μαρτύρων·
Μηνᾶ· Ἑρμογένους, καὶ Εὐγράφου·

ἅγιος μάρτυς Μηνᾶς· ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως·
ἐγένετο δὲ εἰς ἄκρον ἀνδρείαν ζητήσεως τῶν πραγμάτων.
καὶ ἀπεστάλη παρὰ τοῦ βασιλέως ἵνα λύσῃ τὴν φι-
λονεικίαν. ὡς σοφὸς καὶ ῥήτωρ· ἀπελθὼν δὲ εἰς ἀλε-
ξάνδρειαν. καὶ τὴν φιλονεικίαν διέλυσε· καὶ τοὺς
χριστιανοὺς προθυμοτέρους ἐποίησε· καὶ πολλοὺς
τῶν ἀθέων ὁμοίως ἐποιήσατο· ἀκούσας δὲ ταῦτα ὁ βασι-
λεὺς ἀποστέλλει Ἑρμογένην τὸν ἔπαρχον. ἵνα κακώ-
σῃ τὸν ἅγιον Μηνᾶν. καὶ μεταστήσῃ αὐτὸν ἀπὸ τῆς τῶν
χριστιανῶν πίστεως· ὁ δὲ ἀπελθών. ἐτύφλωσε τὸν ἅγι-
ον· καὶ τὴν γλῶσσαν αὐτοῦ ἐξέκοψεν· ὡς δὲ εἶδεν αὐτὸν
πάλιν ὑγιαίνοντα. ἐπίστευσε καὶ αὐτός· καὶ παρὰ μὲν
τοῦ ἁγίου Μηνᾶ ἐβαπτίσθη· παρὰ δὲ τῶν συνελθόντων ἐ-
πισκόπων. ἐχειροτονήθη ἐπίσκοπος· ἀκούσας δὲ ὁ βασιλεὺς
αὐτὸς ἀπελθὼν ἐτιμωρήσατο αὐτούς, ἅμα τῷ νοταρίῳ αὐτοῦ Εὐγρά-
φῳ πιστεύσαντι· καὶ τέλος μαχαίραις κατακόψας αὐτοὺς ἀνεῖλεν·

Mena, Hermogenes et Eugraphi Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου καὶ πολυάθλου Γεμέλλου τοῦ Παφλαγόνος.

Ἐκ τῆς χώρας Παφλαγονίας ἦν οὗτος ὁ ἅγιος. Καὶ ἀκούσας ὅτι Ἰουλιανὸς ὁ παραβάτης εἰς Ἄγκυραν ἔμεινε τῆς Γαλατίας, ἀπῆλθε πρὸς αὐτόν· καὶ σταθεὶς ἔμπροσθεν αὐτοῦ, ἐκάλεσεν αὐτὸν παράνομον καὶ ἐχθρὸν τοῦ Χριστοῦ· Καὶ τότε ἐπικρανθεὶς ὁ Ἰουλιανός, καὶ ἤρξατο τιμωρεῖν αὐτόν. Καὶ πρῶτον μὲν ἔξεσεν αὐτὸν μετὰ σιδηρᾶς ζώνης πεπυρακτωμένης· καὶ καιόμενος· καὶ τὸ αἷμα ῥέον, ἠκολούθει τῷ παραβάτῃ ὑβρίζων αὐτόν τι· Καὶ ὅτε ἔφθασεν εἰς ἑτέραν πόλιν, πάλιν ἐπυρώθησαν σουβλία, καὶ ἐπερόνησαν τοὺς ὤμους αὐτοῦ· Καὶ μετὰ τοῦτο ἐποίησαν ἥλους σιδηροῦς· καὶ κατέπηξεν αὐτοὺς εἰς τὴν κεφαλὴν τοῦ ἁγίου· εἶτα ἥπλωσεν αὐτὸν ἐπὶ τὴν γῆν· καὶ ἔδησεν ἐκ τεσσάρων. καὶ ἐξέδειρε τὸ δέρμα αὐτοῦ ἀπὸ τῶν ποδῶν ἕως τῆς κεφαλῆς· καὶ μετὰ ταῦτα σταυρωθεὶς καὶ ἥλοις τοὺς πόδας καὶ τὰς χεῖρας ἡλωθείς, ἐτελειώθη· εὐχαριστῶν τῷ Χριστῷ μέχρι τῆς τελευταίας ἀναπνοῆς.

236 ✠ Μηνὶ τῷ αὐτῷ ιαʹ. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀειθαλᾶ καὶ Ἀψεΐ·

Ἐκ τῆς τῶν Περσῶν χώρας ὑπῆρχον οὗτοι οἱ ἅγιοι· ὁ δὲ
ἀειθαλᾶς ἱερεὺς τῶν εἰδώλων ὑπάρχων· ἐπιγινώσκει τὴν
εἰς χν̄ πίστιν. ἀπὸ αἰτίας τοιαύτης· ἠσθένησε· καὶ ἐν-
θυμηθεὶς ἀπελθεῖν εἰς τὸν ἐπίσκοπον τῶν χριστιανῶν
ἵνα θεραπευθῇ. καὶ εὐθέως ἴασιν ἔλαβεν· εἶτα ἀπήρχετο εἰς
τὴν ἰδίαν πόλιν. ἵνα τοὺς συγγενεῖς αὐτοῦ διδάξῃ γενέ-
σθαι χριστιανούς· καὶ μαθόντες τοῦτο οἱ ἄρχοντες. ἐπίασαν
αὐτόν· καὶ κόψαντες τὰ ὦτα αὐτοῦ. ἐνέβαλον εἰς φυλα-
κήν· ὁ δὲ ἅγιος ἀψεῖς· ὑπῆρχε διάκονος· καὶ κρατη-
θεὶς καὶ αὐτὸς. καὶ τὸν χν̄ ὁμολογήσας· τιμωρεῖται ἰσχυ-
ρῶς· εἶτα παραπέμπεται τῷ ἀρχιμάγῳ μετὰ τοῦ ἁγίου
ἀειθαλᾶ· ὁ δὲ ἀρχιμάγος εἰσάγει αὐτοὺς πρὸς τὸν βασι-
λέα· καὶ προσετέθησαν παρόντος τοῦ ἀρχιμάγου. καὶ πα-
ρὰ τοῦ βασιλέως· καὶ κατηναγκάσθησαν ἀρνήσασθαι
τὸν χν̄· καὶ ἰδὼν αὐτοὺς ὁ βασιλεὺς ὅτι οὐκ ἀρνοῦνται
τὸν χν̄. ἀποκεφαλισθῆναι αὐτούς· καὶ οὕτως ἐτελειώθησαν·

11 Dec. Aitale et Apseos Mart.

237

ιγ

✠ Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Δανιὴλ τοῦ στυλίτου τοῦ ἐν τῷ Ἀνάπλῳ ⁘

Οὗτος ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου· ἐγένετο δὲ ἀπὸ Μεσοποταμίας τῆς Συρίας· δώδεκα ἔτης δὲ γενόμενος, ἀπῆλθεν ἐν μοναστηρίῳ καὶ ἐγένετο μοναχός· καὶ μετὰ τοῦτο παρεγένετο καὶ πρὸς τὸν μέγαν Συμεὼν τὸν στυλίτην· καὶ εὐλογήθη παρ' ἐκείνου· ἐκ θεοῦ δὲ ἀποκαλύψεως, ἦλθεν ἐν τῷ Ἀνάπλῳ· καὶ ἀποκλείσας ἑαυτὸν ἐν ναῷ τῶν εἰδώλων· πολλοὺς πειρασμοὺς ὑπομείνας ὑπὸ τῶν δαιμόνων· καὶ μετὰ τοῦτο ἀνῆλθεν εἰς κίονα. καὶ ἐγένετο στυλίτης· καὶ οὔτε ψῦχος· οὔτε καῦμα· οὔτε ἄνεμος ἐνίκησεν αὐτοῦ τὴν καρτερίαν· ἐποίησε μὲν οὖν πολλὰ θαύματα· καὶ προεῖπε καὶ ἐμπρησμοὺς τῆς πόλεως καὶ μεταλλαγάς· ἠγαπήθη δὲ παρὰ πάντων· καὶ τοσοῦτον ἐγένετο θαυμαστὸς, ὥστε καὶ τὸν βασιλέα Λέοντα πρὸς αὐτὸν ἀναβαίνειν χάριν εὐχῆς· καὶ παρ' ἐκείνου πολλὰ εἰς ψυχὴν ὠφελεῖσθαι. καὶ φιλάνθρωπον γίνεσθαι τοῖς πταίουσιν· οὕτω δὲ ἱκανώσας ἐτελειώθη ⁘

11 Dec. Danielis stylitae m. [illegible]

Μηνὶ τῷ αὐτῷ ιβ'. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τῆς Κύπρου·

Ὁ ὅσιος πατὴρ ἡμῶν Σπυρίδων. ἐγένετο ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως· τὸν τρόπον ἁπλοῦς· τὴν καρδίαν ταπεινός· ὁ ποιμαίνειν δὲ πρόβατα· καὶ γυναῖκα λαβών· καὶ θυγατέρα γεννήσας· ἐπεὶ ἐκείνη ἀπέθανεν. ἐγένετο ἐπίσκοπος· γέγονε δὲ καὶ θαυματουργός· καὶ γὰρ ἐν ἀβροχίᾳ. προσηύξατο καὶ ἔβρεξε· καὶ ἀπὸ λιμοῦ. εὐθηνίαν ἐποίησε· καὶ ὄφιν μετέβαλεν εἰς χρυσοῦν· καὶ πάλιν τὸν χρυσὸν μετὰ τὸ δοθῆναι ἐν ἐνεχύρῳ καὶ δανείσασθαι τὸν πτωχὸν καὶ ζῆσαι. μετεποίησεν εἰς ὄφιν καὶ ἀπέλυσε· καὶ ποταμὸν τρέχοντα ἔστησεν· ἦλθε δὲ καὶ εἰς τὴν ἐν Νικαίᾳ σύνοδον. καὶ κατῄσχυνε τοὺς αἱρετικούς· γυνὴ δέ τις ἔδωκε τῇ θυγατρὶ αὐτοῦ παρακαταθήκην· εἶτα ἀπέθανεν ἡ θυγάτηρ αὐτοῦ· καὶ μὴ εὑρισκομένης τῆς παρακαταθήκης. ἠρώτησεν ὁ γέρων τὴν νεκράν· καὶ ἀποκριθεῖσα εἶπεν. ἐν τῷ δὲ ἐστὶ τῷ τόπῳ· καὶ ἕτερα πολλὰ ποιήσας. ἐν εἰρήνῃ ἐτελειώθη·

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ. ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ· ΕΥΣΤΡΑΤΙΟΥ· ΑΥΞΕΝΤΙΟΥ· ΕΥΓΕΝΙΟΥ· ΜΑΡΔΑΡΙΟΥ· ΚΑΙ ΟΡΕΣΤΟΥ ⁘

Ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ, διωγμὸς ἦν τῶν χριστιανῶν· καὶ κρατηθεὶς ὁ ἅγιος Εὐστράτιος παρὰ Λυσίου τοῦ δουκὸς καὶ μαστιγωθεὶς πλεῖστα· καὶ ὑποδήματα σιδηρᾶ μετὰ καὶ ἥλων ὀξέων ὑποδεθεὶς περιεπάτει ὑπομένων· ὁ δὲ ἅγιος Αὐξέντιος τιμωρηθεὶς ἰσχυρῶς ἀπεκεφαλίσθη· ἡ δὲ κεφαλὴ αὐτοῦ οὐχ εὑρίσκετο· ὕστερον εὑρέθη εἰς δένδρον κειμένη, κορώνης ἑστώσης ἐπάνω καὶ κρωζούσης· ἀλλὰ καὶ ὁ ἅγιος Μαρδάριος τιμωρίας μυρίας ὑποστάς· ἔλεγε μὲν ἕτερον μὴ· χριστιανός εἰμι· εἶτα τοὺς ἀστραγάλους διατρυπηθεὶς καὶ κατὰ κεφαλῆς κρεμασθεὶς καὶ τὰ ὀπίσθια μέρη κατακαεὶς ἐτελεύτησεν· ὁ δὲ ἅγιος Εὐγένιος τὴν γλῶτταν καὶ τὰς δύο χεῖρας ἐκκοπεὶς· συνθλασθεὶς δὲ καὶ τὰ σκέλη ῥάβδοις ἐξέπνευσεν· ἀλλὰ καὶ ὁ ἅγιος Ὀρέστης· τοῦ κεκρυμμένου σταυροῦ αὐτοῦ ὃν ἐφόρει ἀναφανέντος ἐκρατήθη· καὶ τεθεὶς ἐπὶ σιδηροῦ πεπυρακτωμένου κραβάττου προσκολληθεὶς ἐτελειώθη· δὲ ὁ ἅγιος Εὐστράτιος μετὰ πολλὰς τὰς τιμωρίας εἰς κάμινον ⁘

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας Λουκίας τῆς παρθένου:

Ἡ μάρτυς Λουκία, ἐγένετο ἀπὸ Σικελίας τῆς μεγάλης νήσου·
ἐκ πόλεως Συρακούσης· εἶχε δὲ μητέρα, ἀσθενοῦσαν τὸ τῆς
αἱμορροίας πάθος· καὶ ἀναλαβοῦσα αὐτήν, ἀπῆλθεν
εἰς τὴν πόλιν Κατάνης· ἵνα παρακαλέσῃ τὴν ἁγίαν μάρ-
τυρα Ἀγάθην, καὶ θεραπεύσῃ αὐτήν· ἡ δὲ ἁγία μάρτυς
ὤφθη· καὶ τὴν μὲν μητέρα τῆς Λουκίας ἐθεραπεύσατο· καὶ περὶ
αὐτῆς προεφήτευσεν, ὅτι μέλλει μαρτυρῆσαι ὑπὲρ Χριστοῦ·
ὑποστρέψασαι δὲ εἰς τὸν οἶκον ἑαυτῶν, τὸν πλοῦτον αὐτῶν
ἔδωκαν τοῖς πτωχοῖς· ἐπειδὴ δὲ παρθένος εἶναι ἐσπούδαζεν,
ὁ μνηστευόμενος αὐτὴν πρὸς γάμον κατεμήνυσε τῷ ἄρχον-
τι τῆς πόλεως· καὶ κρατηθεῖσα, ἠναγκάζετο ἀρνήσα-
σθαι τὸν Χριστόν· ὡς δὲ οὐκ ἐπείθετο, ἐκέλευσεν ὁ ἄρχων εἰς
τὸ πορνεῖον αὐτὴν ἀπενεχθῆναι· ἀλλ' ἔμεινε Θεοῦ χάρι-
τι καθαρὰ καὶ ἐν τῷ τοιούτῳ τόπῳ· τοῦ Θεοῦ φυλάττοντος
αὐτήν· εἶτα ἀνῆψαν μεγάλην κάμινον, καὶ ἐνέρριψαν αὐτὴν
εἰς τὴν πυράν· καὶ μὴ ἀδικηθεῖσα, ἀπεκεφαλίσθη παρ' αὐτῶν:

13 Dec. Luciæ Virginis Syracusanæ.

Μηνὶ τῷ αὐτῷ ιδ'. ἄθλησις τῶν ἁγίων μαρτύρων Θύρσου καὶ Λευκίου.

Ἐπὶ Δεκίου τοῦ βασιλέως. Κουμβρίκιος ὁ ἡγεμὼν. διω-
γμὸν μέγαν ἐκίνησε κατὰ τῶν χριστιανῶν. ἐν τοῖς μέρεσι
Νικομηδείας. χέων τὰ τῶν μαρτύρων αἵματα καθάπερ
τινὸς ὕδωρ. λυπηθεὶς δὲ ὁ Λεύκιος. χριστιανὸς ὑ-
πάρχων καὶ φοβούμενος τὸν Θεόν. ἀπελθὼν εἰς τὸν
ἡγεμόνα λέγει· κύων ἀλιτήριε. ἕως πότε ἐκχέεις
τὸ τῶν μαρτύρων αἷμα ὡς ὕδωρ. καταναγκάζων αὐ-
τοὺς προσκυνεῖν λίθοις καὶ ξύλοις ἀψύχοις καὶ ἀναισθή-
τοις· ὀργισθεὶς δὲ ὁ ἡγεμὼν. ἐκρέμασεν αὐτὸν καὶ ἔξεσε
τὰς σάρκας αὐτοῦ. εἶτα ἀπέτεμε τὴν κεφαλὴν αὐτοῦ. καὶ ὑ-
πήντησε τῷ ἡγεμόνι ὁ ἅγιος Θύρσος καὶ ὠνείδισεν αὐτὸν
ὡς ἐπιχαίροντι τοῖς αἵμασι τῶν μαρτύρων. καὶ ἐκρατή-
θη καὶ αὐτός. καὶ ἐδέθη χεῖρας καὶ πόδας. καὶ ἐξεκεν-
τήθη τοὺς ὀφθαλμούς. καὶ συνετρίβη τὰ σκέλη. εἶτα
ἐδέθη ἵνα σχισθῇ μέσον μετὰ τοῦ πρίονος. καὶ πρὸ τοῦ
σχισθῆναι καὶ διχοτομηθῆναι. παρέδωκε τὴν ψυχήν.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλήμονος, Ἀπολλωνίου, καὶ τῆς συνοδίας αὐτῶν:

Οὗτοι οἱ ἅγιοι ἦσαν μὲν τὸ ἀπὸ Θηβαίων τῆς Αἰγύπτου. ἐπὶ Διοκλη-
τιανοῦ τοῦ βασιλέως. ἦσαν δὲ ἅπαντες τεσσαράκοντα ϛ΄.
ἐπειδὴ δὲ ἐκρατήθησαν, εἷς ἐξ αὐτῶν καλούμενος Ἀπολ-
λώνιος, κληρικὸς ὤν, ἔδωκε νομίσματα τῷ φυλάτ-
τοντι αὐτοὺς Φιλήμονι τῷ κιθαριστῇ. καὶ παρεκάλεσεν
αὐτὸν φορέσαι τὰ ἱμάτια αὐτοῦ. καὶ ἀντὶ αὐτοῦ προσκυ-
νῆσαι καὶ θῦσαι τοῖς εἰδώλοις. ὁ δὲ Φιλήμων φορέσας
τὰ ἱμάτια τοῦ Ἀπολλωνίου, ὅτε ἀπῆλθε θῦσαι, ὡμο-
λόγησε τὸν Χ(ριστό)ν. ὁ δὲ ἡγεμὼν μὴ γνωρίσας αὐτόν, εἶπεν·
καλέσατε τὸν κιθαριστὴν Φιλήμονα, ἵνα κιθαρίσῃ. καὶ
τῇ μελῳδίᾳ πείσῃ τοὺς χριστιανοὺς θῦσαι. καὶ τότε γνω-
ρισθεὶς ὁ Φιλήμων ἐτιμωρήθη μετὰ τῶν ἄλλων παρὰ τοῦ ἡ-
γεμόνος. ὕστερον δὲ ἐπίστευσε καὶ ὁ ἡγεμὼν καὶ οἱ σὺν αὐ-
τῷ πάντες. καὶ μαθὼν ταῦτα ὁ Διοκλητιανὸς ἐτιμωρή-
σατο αὐτόν, μετὰ καὶ Ἀρριανοῦ πλουσίου τινός. εἶτα δεσμή-
σας πάντας καὶ ἐμβαλὼν εἰς σάκκους, ἔρριψεν ἐν τῇ θαλάσσῃ:·

Dec. 14 *Philemonis Apollonii, et sociorum Mart.*

Μηνὶ τῷ αὐτῷ ιε΄. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου.

Ὁ ἅγιος ἱερομάρτυς Ἐλευθέριος, ἦν ἀπὸ τῆς μεγαλοπό-
λεως Ῥώμης· νέος δὲ τὴν ἡλικίαν ὑπάρχων ἐγένετο
ἐκ πατρὸς ὀρφανός· μητρὶ δὲ χήρᾳ μόνῃ ὀνόματι Ἀνθίᾳ· παρε-
κείμενος ἐδιδάχθη τὴν τοῦ Χριστοῦ πίστιν· προδιδαχθεῖσα καὶ
αὐτῆς ὑπὸ τοῦ μεγάλου Παύλου τοῦ ἀποστόλου· ὁ δὲ ἐ-
πίσκοπος Ἀνίκητος τοῦτον δεξάμενος· τὰ τῶν χρι-
στιανῶν ἐδίδαξε γράμματα· καὶ ἐποίησε κληρικόν·
εἶτα χειροτονεῖται διάκονος καὶ πρεσβύτερος. εἶτα
ἐπίσκοπος τοῦ Ἰλλυρικοῦ· ἐπὶ δὲ Ἀδριανοῦ βασιλέως
κρατηθεὶς τιμωρεῖται ἰσχυρῶς· εἶτα ἐναπορρίπτεται
εἰς φοῦρνον ἐκπυρωθέντα. διατάξει τοῦ ἐπάρχου· καὶ
ἰδὼν αὐτὸν ὁ ἔπαρχος ὅτι ἐξῆλθεν ὑγιής· ἐπίστευσε καὶ
αὐτός· καὶ εἰσῆλθεν εἰς τὸν φοῦρνον καὶ ἐξῆλθε μηδὲν
ἀδικηθείς· τότε ὁ μὲν ἔπαρχος ἀποκεφαλίζεται· καὶ ὅ-
σοι ἄλλοι ἐπίστευσαν· ὁ δὲ ἅγιος Ἐλευθέριος κατεκόπη τοῖς
σπαθίοις ὑπὸ τῶν δημίων· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα·

15 Dec. Eleutherij Mart. Rom.

247

✠ Μηνὶ τῷ αὐτῷ ις´. ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου·

Ἐπὶ τῆς βασιλείας Καρίνου τοῦ βασιλέως γεγονὼς οὗτος·
ἔρημος δὲ ὑπάρχων. ἀνὴρ συγκλητικός· γέρων δὲ ὢν
τὴν ἡλικίαν· ὑπάρχων τῆς θεοσεβείας χριστιανός. καὶ ἠναγκάζε-
το θῦσαι τοῖς εἰδώλοις· ὡς δὲ οὐκ ἐπείθετο. ἐκρεμά-
σθη καὶ μετὰ ἀπανθρώπων ἀσπαθίων ἐξέετο· εἶτα ἐτέθη ἐπὶ τοῦ
πυρός· εἶτα ἐνεβλήθη ἐς τήγανον καιόμενον· καὶ αὖ-
θις εἰς λέβητα κοχλάζοντα· καὶ ἐκ πάντων τού-
των τῇ τοῦ θ(εο)ῦ χάριτι. ἐξῆλθεν ὑγιής· εἶτα ἀπελύθη-
σαν ἐπ' αὐτὸν θηρία. λέοντες καὶ ἄρκοι. καὶ ἐλυτρώθη
καὶ ἐξ αὐτῶν· ἀναγκαζόμενος δὲ ἀπελθεῖν εἰς τὸν ναὸν
τῶν εἰδώλων καὶ θῦσαι. εἶπε πρὸς τὸν βασιλέα· ἄφες με
εἰς τὸν ναὸν τῶν εἰδώλων· χαρεὶς δὲ ὁ βασιλεὺς τοῦτο ἀκού-
σας· καὶ ἀπελθὼν μετὰ τοῦ λαοῦ παντὸς. προσηύξατο·
καὶ κατέπεσον τὰ εἴδωλα καὶ συνετρίβησαν· τότε πι-
κρανθεὶς ὁ βασιλεὺς. ἀπεκεφάλισεν αὐτόν· καὶ οὕτως πα-
ρέδωκε τὸ πν(εῦμ)α αὐτοῦ τῷ κ(υρί)ῳ, διὸ μὴν προθύμως ἐμαρτύρησεν·

† Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου προφήτου
Ἀγγαίου

ιη

Οὗτος ἐγένετο ἐκ τῆς φυλῆς τοῦ λευΐ· ἐγεννήθη δὲ εἰς βα-
βυλῶνα ἐπὶ τῆς αἰχμαλωσίας· ὅτε αἰχμάλωτοι ἀπή-
χθησαν οἱ ἰουδαῖοι παρὰ τῶν περσῶν εἰς τὴν αὐτὴν βα-
βυλῶνα· τοῦ θεοῦ τοῦτο συγχωρήσαντος διὰ τὰ εἰς αὐτὸν
ἁμαρτήματα τοῦ λαοῦ· καὶ νέος ὢν ἦλθεν ἀπὸ βαβυλῶνος
εἰς ἱλήμ. καὶ προεφήτευσε μετὰ ζαχαρίου ἔτη τριάκοντα·
προέλαβον δὲ οὗτοι οἱ προφῆται ὁ ἀγγαῖος καὶ ὁ ζαχαρίας
τὴν ἐνανθρώπησιν τοῦ χυ. ἔτη τετρακόσια ἑβδομήκοντα·
ὁ δὲ ἀγγαῖος φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προ-
εφήτευσε· καὶ εἶδεν ἀρξαμένην καὶ τὴν οἰκοδομὴν τοῦ
ναοῦ τοῦ ἐν ἱεροσολύμοις· καὶ ἕτερα πολλὰ προειπών·
ἀπέθανε· καὶ ἐτάφη πλησίον τοῦ τάφου τῶν ἱερέων ἐν-
δόξως καὶ μεγαλοπρεπῶς ὡς ἐκεῖνοι. ἐπειδὴ καὶ αὐτὸς
ἐκ τοῦ ἱερατικοῦ γένους κατήγετο· ἦν δὲ πολιὸς
τὴν τρίχα· στρογγύλον ἔχων τὸ γένειον· τιμώμενος ὑπὸ
πάντων διὰ ἀρετήν. ὡς ἔνδοξος ἐν μεγάλοις προφήταις:

16 Dec. Aggeo Profeta

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΜΝΗΜΗ ΤΗΣ ΜΑΚΑΡΙΑΣ ΘΕΟΦΑΝΟΥΣ ΓΥΝΑΙΚΟΣ ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ ΗΜΩΝ ΓΙΝΟΜΕΝΗΣ·

Ἡ μακαρία ἀοίδιμος θεοφανὼ ὑπῆρχε τῆς κωνσταντινουπόλεως καὶ θρέμμα καὶ βασίλισσα· ἐγένετο γὰρ θυγάτηρ κωνσταντίνου ἰλλουστρίου, συγγενοῦς βασιλέων τριῶν· ἡ δὲ μήτηρ αὐτῆς ἐκαλεῖτο ἄννα· ἦν δὲ καὶ αὐτὴ στεῖρα καὶ ἄγονος, ὡς ἡ ποτὲ ἄννα ἡ μήτηρ τοῦ προφήτου σαμουήλ· ἀλλὰ πυκνῶς ἀπερχομένη καὶ παρακαλοῦσα μετὰ τοῦ ἀνδρὸς τὴν ἁγίαν δέσποιναν ἡμῶν θεοτόκον τὴν ἐν τοῖς βάσσου τιμωμένην, συνέλαβεν ἐν γαστρὶ τὴν ἁγίαν θεοφανώ· καὶ γεννήσασα, ἐξέθρεψεν εὐμαρέστως· διδάξασα αὐτὴν καὶ γράμματα· καὶ ἐπεὶ βασίλειος ὁ περιβόητος βασιλεὺς γυναῖκα ἐβουλεύσατο δοῦναι τῷ υἱῷ αὐτοῦ λέοντι τῷ σοφωτάτῳ βασιλεῖ, παρὰ ταύτην κρείττονα μὴ εὑρών, δέδωκεν αὐτῷ ταύτην· στεφθεῖσα δὲ καὶ βασιλεύσασα, ὅμως τῶν πτωχῶν οὐκ ἐπελάθετο· ἀλλὰ τῆς συνήθους ἐχομένη ἀρετῆς καὶ ἐλεημοσύνης, ἐθεράπευε τὸν θεὸν τὸν αὐτῇ δωρησάμενον βασιλείαν

Μηνὶ τῷ αὐτῷ ἐν ἡμέρᾳ κυριακῇ ὅτε λάχῃ· μνήμη τῶν ἁγίων π(ατέ)ρων Ἀβραάμ· Ἰσαάκ· κ(αὶ) Ἰακ(ώβ)·

Περὶ τούτων τῶν μεγάλων π(ατέ)ρων μικρὸν μόνον ὡς Μωϋσῆς ἐν τῇ
βίβλῳ τῆς γενέσεως ἀκριβῶς ἔγραψεν· ὀλίγα δὲ καὶ ἡμεῖς
ἐξ αὐτῆς τῆς βίβλου διηγησόμεθα· οὗτος ἀπὸ Χαλδαίας
γενόμενος, ἀστρονόμος ἄκρος· εἶχε δὲ π(ατέ)ρα εἰδωλολάτρην·
αὐτὸς δὲ κατανοήσας ὅτι οὐδὲν ἐκ τῶν εἰδώλων ἐστὶ θ(εό)ς·
κατακαύσας αὐτά, ἤκουσε παρὰ τοῦ ἀληθινοῦ θ(εο)ῦ· Ἀβ-
ραάμ, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου·
καὶ ἐκ τοῦ οἴκου τοῦ π(ατ)ρός σου. καὶ ἐλθὲ εἰς γῆν ἥν ἄν σοι
δείξω· ἀφῆκεν οὖν πάντα καὶ ἀνέλαβε τὴν γυναῖκα
αὐτοῦ Σάρραν καὶ τὸν ἀνεψιὸν αὐτοῦ Λώτ. καὶ ἐξενίτευσεν
ἀκολουθῶν τῷ θ(ε)ῷ· κελεύοντι αὐτὸν ὡς ἠδύνατο. καὶ προσ-
τασσόμενος ὑπ' αὐτοῦ· ἐγέννησε δὲ τὸν Ἰσαὰκ ἐν γήρᾳ·
Καὶ δοκιμάζων αὐτὸν ὁ θ(εὸ)ς προσέταξε σφάξαι αὐτόν· καὶ
ἰδὼν αὐτὸν ὑπακούοντα, ἐκώλυσεν· ὁ δὲ Ἰσαὰκ ἐγέννη-
σε τὸν Ἰακώβ· ὧν τὴν μνήμην ἐπιτελοῦμεν πρὸ τῆς
Χ(ριστο)ῦ γεννήσεως, διότι ἐγεννήθη μὲν κατὰ σάρκα ὁ Χ(ριστὸ)ς ἐξ αὐτ(ῶν)·:

16 Dec. Abraam Isaac et Jac.

Μηνὶ τῷ αὐτῷ ιζ΄. Ἄθλησις τῶν ἁγίων τριῶν παίδων· Ἀνανία· Ἀζαρία. καὶ Μισαήλ·

Οἱ ἅγιοι τρεῖς παῖδες ἐγένοντο ἀπὸ Ἰερουσαλὴμ τῆς πόλεως· υἱοὶ Ἐζεκίου τοῦ βασιλέως Ἰουδαίων· ὅστις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ. φυλάξαι τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ· καὶ ἀσθενήσας μέχρι θανάτου· εἶτα μετανοήσας, ἔλαβε προσθήκην ἐτῶν δεκαπέντε· τῆς δὲ Ἰερουσαλὴμ ὑπὸ τοῦ βασιλέως τῶν Ἀσσυρίων Ναβουχοδονόσορ πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα· καὶ διὰ τὴν ἀρετὴν αὐτῶν. ἐγένοντο ἄρχοντες τῆς χώρας ἐκείνης· εἶτα μὴ πεισθέντες προσκυνῆσαι τὴν χρυσῆν εἰκόνα ἣν ἐποίησεν ὁ βασιλεύς. ἐνεβλήθησαν εἰς κάμινον· καὶ κατελθὼν ἄγγελος. καὶ διεφύλαξεν αὐτοὺς ὑγιεῖς· καὶ ὁ βασιλεὺς ἐτίμησε καὶ τοὺς παῖδας. καὶ ὡμολόγησε καὶ τὸν Θεὸν τοῦ οὐρανοῦ μέγαν εἶναι· ἦλθε δὲ βασιλεὺς ἕτερος· καὶ εὑρὼν τοὺς ἁγίους τρεῖς παῖδας πιστεύοντας εἰς τὸν Θεόν. ἀποκεφαλισθῆναι αὐτοὺς προσέταξε· καὶ δεξάμενος ἕτερος τοῦ ἑτέρου τὴν κεφαλήν· ἔσχατος δὲ ὁ Δανιὴλ τοῦ Ἀνανίου, ἐτελειώθησαν·

Dec. Ananiæ Azariæ, et Misaelis puerorum Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου Δανιὴλ τοῦ προφήτου·

Οὗτος ὁ ἅγιος Δανιὴλ. μετὰ τῶν τριῶν παίδων ᾐχμαλωτί-
σθη· καὶ ἀπηνέχθη ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα· καὶ προεφή-
τευσεν ἔτη ἑβδομήκοντα· προέλαβε δὲ τὴν γέννησιν
τοῦ Χριστοῦ. ἔτη τετρακόσια ἑξήκοντα· ἀνὴρ δὲ ἦν σώφρων
καὶ νηστευτής· μέγας γενόμενος προφήτης ἁπλῶς. εἰ μὴ ὡρίων
διὰ τοῦτο ἠγαπήθη παρὰ τοῦ Θεοῦ· καὶ ἀπεστάλη ἄγγελος.
καὶ ἐδίδαξεν αὐτὸν τὰ μυστήρια τὰ ἀπόκρυφα· ὅθεν
καὶ τοὺς ὀνείρους τοῦ βασιλέως ἔλυσε καὶ ἡρμήνευσεν·
καὶ περὶ τῶν βασιλειῶν ἑκάστου ἔθνους· Μήδων· Ἀσσυρίων·
Περσῶν· Μακεδόνων· Ῥωμαίων. προεφήτευσε· καὶ ὅτι
καταλυθήσονται πᾶσαι αἱ βασιλεῖαι· καὶ κρατήσει
ἡ βασιλεία τῶν Ῥωμαίων καὶ τῶν Χριστιανῶν αὐτοῦ
Χριστοῦ βασιλεύοντος. ἕως αἰῶνος· ἐνεβλήθη δὲ εἰς τὸν
λάκκον τῶν λεόντων. καὶ ἐξῆλθεν ὑγιής· καὶ ἐτιμή-
θη ἴσα τοῦ υἱοῦ τοῦ βασιλέως Βαλτάσαρ· ὕστερον δὲ ἀ-
πεκεφαλίσθη παρὰ Ἀττικοῦ βασιλέως, μετὰ τῶν τριῶν παίδων·

✠ ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΒΑΚΧΟΥ ΤΟΥ ΝΕΟΥ·:

Ἐκ τῆς χώρας τῆς Παλαιστίνης ὑπῆρχεν οὗτος· ἐπὶ τῆς β-
ασιλείας Εἰρήνης καὶ Κωνσταντίνου· ἦσαν δὲ οἱ γονεῖς
αὐτοῦ ἐκ προγόνων χριστιανοί· ἀλλ' ὁ πατὴρ αὐτοῦ τοῖς δαι-
μόνων πλανηθεὶς· πρὸς τὴν τῶν Σαρακηνῶν μετε-
τέθη αἰσχρὰν πίστιν. καὶ ἐμαγάρισεν· ἐποίησε δὲ παι-
δία ἑπτά· καὶ ἀνέτρεφεν αὐτὰ ἐπὶ τῇ ὁμοίᾳ κακῇ πί-
στει· εἶτα ἀπέθανε· καὶ κατελείφθησαν τὰ παιδία.
μετὰ τῆς μητρὸς αὐτῶν· ἐξ ὧν ὁ εἷς Γελάσιος καλούμενος·
τὰ Ἱεροσόλυμα κατέλαβεν· εἶτα ἦλθεν εἰς τὴν λαύραν
τοῦ ἁγίου Σάβα· καὶ γίνεται μοναχὸς· Βάκχος ὀνομασθείς·
καλῶς δὲ πολιτευσάμενος· ἀπεστάλη παρὰ τοῦ ἡ-
γουμένου φυγεῖν. ἵνα μὴ νοηθῇ ὅτι Σαρακηνὸν ἐβά-
πτισε· καὶ ἐλθὼν εἰς τὰ οἰκεῖα. τοὺς μὲν πέντε
ἀδελφοὺς ἐβάπτισεν· ὁ εἷς δὲ μὴ βαπτισθεὶς· ἐλοι-
δόρησε τὸν Βάκχον εἰς τὸν ἀμηρᾶν· καὶ ὁ ἀμη-
ρᾶς ἀπεκεφάλισεν αὐτόν· καὶ οὕτως ἐτελειώθη·:

✠ Μηνὶ τῷ αὐτῷ ιη. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἱεράρχου Φλώρου∙

Ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ νέου· καὶ Τιβερίου· καὶ Μαυρικίου· ἦν οὗτος ὁ ἅγιος Φλῶρος· ἔχων πατέρα Φλῶρον καὶ αὐτὸν καλούμενον. καὶ μητέρα ὀνομαζομένην Εὐφημίαν· ἐδίδαξαν δὲ αὐτὸν οἱ γονεῖς αὐτοῦ. καὶ τὴν τῶν ἑλλήνων γραφὴν καὶ τὴν τῶν χριστιανῶν· εἶτα γέγονε νοτάριος τοῦ βασιλέως· εἶτα πατρίκιος· καὶ γαμεῖ γυναῖκα. ἐποίησε καὶ παῖδας· ἀποθανούσης δὲ καὶ τῆς γυναικὸς καὶ τῶν παιδίων ἐκ τῆς λοιμικῆς νόσου. αὐτὸς λυπηθεὶς καὶ ἀφορμὴν εὑρὼν γίνεται μοναχός. ἀπελθὼν εἰς ἓν τῶν κτημάτων αὐτοῦ ἐν τῷ Ἀμάπλῳ καὶ ἐκαθέσθη· εἶτα διὰ τὴν πολλὴν ἀρετὴν αὐτοῦ. ἐπίσκοπος προχειρίζεται Ἀμισοῦ· ἐν αὐτῇ δὲ τῇ Ἀμισῷ ἀπελθὼν καὶ καλῶς τὸ καταπιστευθὲν αὐτῷ ποίμνιον ποιμάνας· καὶ διδάξας τὸν λαὸν εὐσεβῶς περιπατεῖν καὶ ὀρθοδόξως· καὶ ποιεῖν τοῦ Θεοῦ τὰ θελήματα καὶ τὰς ἐντολάς· ἐκοιμήθη· θαυματουργῶν ἕως τῆς σήμερον ἐν τῷ τάφῳ αὐτοῦ∙

18 Dec. Flori Amasiae ep.

Μηνὶ τῷ αὐτῷ ιθ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου, Ἄρεως καὶ Ἠλία.

Οὗτοι αἰγύπτιοι μὲν ὑπῆρχον τὸ γένος· χριστιανοὶ δέ· ζῆ-
λον δὲ ἔχοντες θεϊκόν· ἀπήρχοντο εἰς τὰς φυλακάς.
Καὶ ἐπεσκέπτοντο τοὺς ὑπὲρ Χριστοῦ ἐναθλοῦντας ἁγίους
μάρτυρας. καὶ ἐθεράπευον· ἀπῆλθον δὲ καὶ εἰς τὴν
χώραν τῆς Κιλικίας· καὶ μέλλοντες εἰσελθεῖν εἰς
Ἀσκάλωνα τὴν πόλιν. ἐκρατήθησαν εἰς τὴν πύλην
παρὰ τῶν φυλάκων· ἀνδρῶν μακρῶν καὶ ἀγρίων. νο-
μισάντων ὅτι προδόται εἰσί· καὶ παρεδόθησαν τῷ ἄρ-
χοντι Φιρμιλιανῷ· ἐπειδὴ δὲ παρέστησαν αὐτῷ· καὶ ἐ-
ρωτηθέντες· χριστιανοὺς ἑαυτοὺς ὡμολόγησαν. τιμωρού-
μενοι καὶ βασανιζόμενοι ἰσχυρῶς· καὶ ὁ μὲν Ἄρης πρότε-
ρον μυρίοις βασάνοις τιμωρηθείς. ὕστερον διὰ πυ-
ρὸς ἐτελειώθη· ὁ δὲ ἅγιος Πρόμος· καὶ αὐτὸς πολλὰ
ἐξετασθείς· καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενος. ἀπεκε-
φαλίσθη· μετὰ τοῦτο δὲ καὶ ὁ ἅγιος Ἠλίας πολλὰ
βασανισθείς. ξίφει τὴν κεφαλὴν ἀπετμήθη.

19 Dec. Promi, Arei et Eliæ Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Τιμοθέου τοῦ διακόνου.

Τιμόθεος ὁ ἱερομάρτυς· ὑπῆρχε μὲν ἐν Μαυριτανίᾳ τῇ χώ-
ρᾳ· χειροτονηθεὶς δὲ παρὰ τοῦ ἐκεῖσε ἐπισκόπου διά-
κονος τῆς ἐν τῇ χώρᾳ ἐκείνῃ ἐκκλησίας· ἐδίδασκεν
δὲ τὸν λαὸν τὴν εἰς Χριστὸν πίστιν· καὶ τὴν τῶν οὐρανῶν βασιλείαν·
καὶ διὰ τοῦτο πολλοὺς ἐβάπτιζεν· καὶ τὴν τῶν ἑλλήνων
πλάνην ὡς ψευδῆ διαβάλλων· ἐκρατήθη παρὰ τοῦ τῆς
χώρας ἄρχοντος εἰδωλολατροῦντος· καὶ πολλὰ τι-
μωρηθεὶς καὶ βασανισθεὶς· καὶ ἐν φυλακαῖς ἀποκλει-
σθεὶς· καὶ λιμῷ καὶ δίψει ταλαιπωρηθεὶς· καὶ μὴ πει-
σθεὶς ἀρνήσασθαι τὸν Χριστόν· καὶ θῦσαι τοῖς ἀκαθάρτοις
δαίμοσι· τέλος γενομένης πυρᾶς μεγάλης ἐκεῖ ἐνε-
βλήθη· ἔνθα καὶ εἰσελθὼν· καὶ εὐχαριστῶν ψάλλων
καὶ προσευχόμενος· παρέδωκε τὸ πνεῦμα αὐτοῦ τῷ κυρίῳ·
τὰ δὲ ὑπολειφθέντα τίμια λείψανα αὐτοῦ κατε-
τέθησαν ἐν αὐτῇ τῇ χώρᾳ Μαυριτανίας ὑπὸ πιστῶν
καὶ εὐλαβῶν ἀνδρῶν εἰς δόξαν Χριστοῦ τοῦ θεοῦ ἡμῶν.

19 Dec. Timothei Diaconi Mart. e Mauritania.

247

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυεύκτου τοῦ ἐν Καισαρείᾳ

Ὁ μάρτυς Πολύευκτος ὑπῆρχεν ἐν Καισαρείᾳ· χριστι-
ανὸς δὲ ὤν. καὶ τὸν Χριστὸν κηρύττων καὶ πάντας διδά-
σκων τὴν εἰς αὐτὸν πίστιν. καὶ πολλοὺς τῶν Ἑλλή-
νων ἀπὸ τῆς πλάνης ἐπιστρέφων ἐπὶ τὴν εὐσέβειαν.
ἐλοιδορήθη εἰς τὸν ἄρχοντα τῆς πόλεως Καισαρεί-
ας· ὁ δὲ ἄρχων ἀποστείλας στρατιώτας ἐκράτησεν
αὐτὸν καὶ βαλὼν εἰς φυλακὴν, παραγγείλας τῷ δεσμο-
φύλακι, ἀσφαλῶς τηρεῖν αὐτόν· ὅτε δὲ εὐκαίρησεν ἀ-
πὸ τῶν πολιτικῶν πραγμάτων· πέμψας εἰς τὴν φυ-
λακὴν. ἤγαγε τὸν ἅγιον ἔμπροσθεν αὐτοῦ· καὶ κατη-
νάγκασεν αὐτὸν. ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς εἰ-
δώλοις· ὁ δὲ μὴ πεισθεὶς· πρῶτον μὲν ξέεται ὅλον τὸ
σῶμα μετὰ σιδηρῶν ὀνύχων· εἶτα ἐκριζοῦται τοὺς
ὀδόντας· καὶ τότε γενομένης καμίνου μεγάλης.
ἐνεβλήθη εἰς αὐτὴν χαίρων καὶ ἀγαλλόμενος·
καὶ οὕτως παρέδωκε τὸ πνεῦμα αὐτοῦ τῷ Κυρίῳ:·

19 Dec. Polieucti Mart. in Caesarea

✠ Μηνὶ τῷ αὐτῷ κ΄. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου πατριάρχου τῆς μεγάλης Ἀντιοχείας·

Τραϊανὸς ὁ βασιλεὺς, ἀνὴρ χαλεπὸς πρὸς τὸ πολεμῆσαι τοὺς
Πέρσας· καὶ διερχόμενος εἰς Ἀντιόχειαν τῆς Συρίας·
ἔμαθε περὶ τοῦ ἁγίου Ἰγνατίου, ὅτι πολλοὺς τῶν Ἑλ-
λήνων ποιεῖ χριστιανούς· καὶ ἀποστείλας ἤνεγκεν αὐτόν, ὁ
κρατήσας αὐτὸν καὶ ἀπέκλεισεν· εἶτα ...
κατεδίκασεν αὐτὸν ἀπελθεῖν εἰς Ῥώμην, ἵνα κατα-
φάγωσιν αὐτὸν τὰ θηρία· ὅθεν παρέδωκεν αὐτὸν δέ-
κα στρατιώταις, ἵνα ἀπαγάγωσιν αὐτὸν εἰς Ῥώμην·
οἵτινες κατὰ τὴν ὁδὸν, πολλὰ καὶ κακὰ ἐνεδείξαν-
το εἰς αὐτόν· καὶ τελευταῖον ἀπαγαγόντες εἰς Ῥώμην,
παρέδωκαν τῇ συγκλήτῳ· ἡ δὲ σύγκλητος κατὰ
τὴν γραφὴν τοῦ βασιλέως, παρέδωκεν αὐτὸν θη-
ρίοις· τοῦτο γὰρ καὶ ηὔχετο ὁ ἅγιος, ὑπὸ θηρίων μερισ-
θῆναι, ἵνα ὡς ἄρτος καθαρὸς φανῇ τῷ θεῷ· ὅπερ
καὶ γέγονεν· ἦν δὲ διάδοχος ὁ ἅγιος τῶν ἁγίων ἀ-
ποστόλων, μαθητὴς τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου·

249

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐγενίου καὶ Μακαρίου·

Ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, ἦσαν ὁμοῦ οὗτοι οἱ φίλοι· καὶ ἔστησαν ἔμπροσθεν αὐτοῦ. καὶ εἶπον αὐτῷ· ἀσεβέστατε καὶ παράνομε. διατί κατέλιπες τὸν ἀληθινὸν θν̄. καὶ προσῆλθες τοῖς ἀκαθάρτοις δαίμοσιν· ὁ δὲ πικρανθείς, ἐνέβαλεν αὐτοὺς εἰς λάκκον ὅπου ἦσαν ἑρπετὰ πολλά. ὄφεις καὶ σκώληκες· καὶ λοιπὰ ὅλη θηρίων· καὶ διαφυλαχθέντας ἐξ αὐτῶν ἀβλαβεῖς, δεσμίους παρέδωκεν εἰς τὴν χώραν τῆς Μαυριτανίας· εἰς πόλιν λεγομένην Μανδηδόμαν· ἀλλὰ τοὺς ἐν τῇ πόλει ἐκείνῃ, ἄλλους εἰδωλολάτρας ὄντας καταφωτίσαντες. καὶ διάφορα ποιήσαντες θαύματα. καὶ ἔσχατον πάντων τὸν ἐν τῷ ὄρει κατοικοῦντα δράκοντα. καὶ πολλοὺς καταβλάπτοντα. διὰ προσευχῆς ἀποκτείναντες· πολλοὺς ἔπεισαν πιστεῦσαι τῷ χῷ· εἶτα ἐν ἀμφοτέροις διάφορα τὰ κατὰ διαφόρους καιρούς, ἐνειρηνεύσαντες αὐτῶν παρέδωκαν ψυχάς· ἀπολαμβάνοντες τὸν ὑπὲρ τῆς ὁμολογίας τοῦ χῦ στέφανον·

20 Dec. Eugenii et Macarii M're

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Βονιφατίου·:

υτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. δοῦλος ὑπῆρχε
γυναικὸς τιμίας ὀνόματι Ἀγλαΐδος. θυγατρὸς Ἀκακίου
τοῦ ἀνθυπάτου Ῥώμης· ὢν δὲ δοῦλος ὢν τῇ κυρίᾳ
αὐτοῦ συνεφθείρετο εἰς σωματικὴν μῖξιν· ἦν δὲ μέ-
θυσος· ἀλλ᾽ ἐλεήμων· ὁμοίως καὶ ἡ κυρία αὐτοῦ. καὶ
ἐλεήμων καὶ φιλόμαρτυς· ἐν μιᾷ οὖν τῶν ἡμερῶν.
εἶπε τῷ Βονιφατίῳ ἐκείνη θέλω· εἰ χωρεῖ ἀπελθεῖν εἰς
τὴν ἀνατολὴν ὅπου μαρτυροῦσιν οἱ ἅγιοι. καὶ κομίσαι
λείψανα ἁγίων ἵνα ἔχωμεν αὐτὰ εἰς ψυχικὴν σωτηρίαν· ὁ δὲ
Βονιφάτιος γελῶν εἶπεν· ἐὰν φέρω τὸ ἐμὸν λείψανον τί· ἡ δὲ
γελάσασα· καὶ μέθυσον αὐτὸν εἰποῦσα, ἀπέστειλε· καὶ ἀπελ-
θὼν μετὰ δούλων δώδεκα· καὶ χρυσίου πολλοῦ εἰς Κιλικίαν
ὅπου ἐβασανίζοντο οἱ ἅγιοι. ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος.
Καὶ ὁμολογήσας τὸν Χριστόν· καὶ βασανισθεὶς ἀπεκεφαλίσθη·
τὸ δὲ λείψανον αὐτοῦ ἀνακομισθὲν παρὰ τῶν συνδούλων
αὐτοῦ. ἀπεδόθη τῇ κυρίᾳ αὐτοῦ· καὶ ἐτάφη παρ᾽ αὐτῆς ἐντίμως·:

μηνὶ τῷ αὐτῷ κα. ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς.

Ἰουλιανὴ ἡ μάρτυς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βα-
σιλέως, ἀπὸ τῆς πόλεως Νικομηδείας· πλουσίων
δὲ ὄντων τῶν γονέων αὐτῆς, ἐμνηστεύθη Ἐλευσίῳ τῷ
συγκλητικῷ, ὅστις ἐπειγόμενος ποιῆσαι τὸν γάμον· ἀλ-
λ' ἡ ἁγία οὐ κατεδέξατο, εἰποῦσα· ἐὰν μὴ γένηται τῆς
πόλεως ἔπαρχος, ἄνδρα αὐτὸν οὐκ ἔχω· ἀλλὰ καὶ τού-
του γενομένου, πάλιν εἶπεν· ὅτι ἐὰν μὴ γένηται χρι-
στιανός, οὐ γαμοῦμαι αὐτόν· ἀκούσας δὲ ταῦτα ὁ πατὴρ
αὐτῆς, ἐλυπήθη· καὶ κατηνάγκασε μᾶλλον αὐτὴν ἀρ-
νήσασθαι τὸν Χριστὸν καὶ γαμεῖν τὸν ἄνδρα αὐτῆς· ὡς δὲ
οὐκ ἔπεισε, τότε παρέδωκε καὶ ταύτην τοῖς νόμοις εἰς
ἐξέτασιν καὶ βάσανον, τῷ μνηστῆρι αὐτῆς καὶ ἐπάρχῳ·
ὁ δὲ ἔπαρχος ἐξέτεινε μὲν ὅλον τὸ σῶμα αὐτῆς· καὶ ἀπὸ τῶν
τριχῶν ἐκρέμασε· καὶ ἐξέδειρε τὸ δέρμα τῆς κεφα-
λῆς αὐτῆς· εἶτα ἐνέβαλεν εἰς πῦρ· καὶ τέλος ἀπεκεφά-
λισεν αὐτήν, μετὰ καὶ ἄλλων τῶν δι' αὐτὴν πιστευσάντων.

Dec Juliana Mart.

262

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεμιστοκλέους·

Ἐπὶ τῆς βασιλείας Δεκίου ἦν οὗτος ὁ ἅγιος Θεμιστοκλῆς.
ἀπὸ τῆς χώρας Λυκίας· ἔβοσκε δὲ πρόβατα ἐν τῷ ὄρει
ὅπου ἐκρύπτετο ὁ ἅγιος Διοσκορίδης. διὰ τὸν διωγμόν· ἀ-
πεστάλησαν δὲ στρατιῶται παρὰ τοῦ τῆς χώρας ἄρχον-
τος· ἵνα πιάσωσι τὸν ἅγιον Διοσκορίδην· καὶ μὴ εὑρίσκον-
τες ἐκεῖνον. εὗρον τὸν Θεμιστοκλέα ποιμαίνοντα τὰ πρόβα-
τα. καὶ ἠρώτησαν περὶ τοῦ Διοσκορίδου· ἐκεῖνος δὲ γι-
νώσκων ὅπου κρύπτεται. ὅμως οὐκ ἠθέλησεν ὁμολογῆ-
σαι αὐτόν· ἑαυτὸν δὲ ἀντὶ ἐκείνου παρέδωκεν. ὁμολογή-
σας χριστιανὸν εἶναι· καὶ δεθεὶς παρεδόθη τῷ ἄρχοντι·
καὶ τὸν Χριστὸν κηρύξας ἔμπροσθεν αὐτοῦ. ἡπλώθη ἐπὶ τὴν γῆν·
καὶ ἐτύφθη κατὰ τῆς κοιλίας. ὥστε οὖν διαρραγεῖσαι
ἐσχίσθη εἰς δύο. καὶ τὰ ἔντερα αὐτοῦ ἐξεχύθησαν·
εἶτα ἐκρεμάσθη ἐπὶ τοῦ ξύλου· καὶ καταικισθείς.
σύρεται ἐπάνω τριβόλων σιδηρῶν· καὶ οὕτως συρόμε-
νος καὶ βασανιζόμενος· παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ·

21 Dec. Themistocles Mart. ...

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλογονίου τοῦ γενομένου ἀπὸ δικολόγου ἐπισκόπου.

Οὗτος ὁ ἅγιος Φιλογόνιος, μήπω ἐθνῶν μαθὼν ἤρχετο· καὶ ἐλθὼν εἰς ἡλικίαν, ἔλαβε καὶ γυναῖκα, ποιήσας καὶ παιδίον· εἶτα ἤρξατο συνήγορος· καὶ ὅτε εὕρισκεν ἀδικούμενον ἄνθρωπον ἢ καταπονούμενον, εὐθὺς ἠγωνίζετο ὑπὲρ ἐκείνου, καὶ ἐξεδίκει αὐτόν· προϊόντος δὲ τοῦ χρόνου, ἐτελεύτησεν ἡ γυνὴ αὐτοῦ· ἐκεῖνος δὲ διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτοῦ καὶ τὴν δικαιοσύνην, ἀντὶ συνηγόρου, παρὰ τοῦ λαοῦ παντὸς καὶ τοῦ ἐπισκόπου, ἐχειροτονήθη ἐπίσκοπος· καὶ ἔλαμψεν εἰς ἀρετὴν καὶ τὰ λοιπὰ κατορθώματα ὑπὲρ τὸν ἥλιον· ἦν δὲ θαυμαστὸς καὶ ἐπὶ σοφίᾳ καὶ ἐπὶ διδασκαλίᾳ· πολλὴ γὰρ ἦν τότε ἡ δυσκολία, μετὰ τὸ τοῦ διωγμοῦ παυσαμένου, καὶ τῆς αἱρέσεως ἀρξαμένης· ἀλλὰ καὶ ἡ αἵρεσις θεοῦ χάριτι ὑπὸ τούτου κατελύθη· οὕτως καλῶς ποιμάνας τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, καὶ καλῶς ζήσας ἐπὶ γήρως ἀγαθοῦ, ἐν εἰρήνῃ ἀνεπαύσατο, δοὺς τὴν ψυχὴν τῷ κυρίῳ.

21 Dec Philogonius

✠ Μηνὶ τῷ αὐτῷ κβ΄. ἄθλησις τῆς ἁγίας μάρτυρος
Ἀναστασίας. καὶ τῶν σὺν αὐτῇ ἁγίων γυναικῶν:

Ἡ μάρτυς Ἀναστασία, ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ βασιλέ-
ως ἐν Ῥώμῃ τῇ πόλει· θυγάτηρ πλουσίων καὶ ἐνδόξων
γονέων· καὶ ὑπὸ μὲν τῆς μητρὸς μανθάνει τὴν εἰς Χριστὸν πίστιν·
ὑπὸ δὲ Χρυσογόνου τοῦ χριστιανῶν διδασκάλου, τὰ ἱερὰ
γράμματα· ἔλαβε δὲ ἄνδρα, Πούπλιον λεγόμενον· πρό-
σιον μέν· Ἕλληνα δέ· ὅθεν καὶ διὰ τὸ μὴ εἶναι χριστιανὸν
ἐμίσει αὐτόν. καὶ οὐ συνήρχετο αὐτῷ εἰς συνάφειαν· ἠλέ-
ει δὲ τοὺς πτωχούς· καὶ ἐθεράπευε τοὺς ἐν φυλακῇ· διὰ
τοῦτο ὑπὸ τοῦ ἀνδρὸς εἰς φυλακὴν ἀπορριφῆναι· ἐπεὶ
δὲ ἐκεῖνος ἀπέθανεν· ἐξελθοῦσα τῆς φυλακῆς. πάντα
τὸν πλοῦτον αὐτῆς ἔδωκε τοῖς πτωχοῖς· καὶ πάλιν ἐδού-
λευε τοῖς ἁγίοις· καὶ τελειωθέντας ἔθαπτε· πολλοὺς δὲ
καὶ πρὸς τὸ μαρτυρῆσαι προθύμους ποιεῖ· παρὰ διαφόρων
δὲ ἀρχόντων μαστιχθεῖσα καὶ ἐν θαλάσσῃ ἀπορριφεῖσα·
ὑγιὴς ἐξῆλθεν· εἶτα πάλιν προσδεθεῖσα πυρὶ παρε-
δόθη· καὶ τοῦ πυρὸς ἐξελθοῦσα, μετὰ τῶν σὺν αὐτῇ γυναικῶν ἀπεκεφαλίσθη:

22 Dec. Anastasia, et socias Mart

✝ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου ἱερομάρτυρος
Καπίτωνος ἐπισκόπου Χερσῶνος·

Οὗτος ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, ἀποσταλ-
εὶς ἐπίσκοπος εἰς Χερσῶνα. τελευτήσαντος Αἰθερίου τοῦ
ἐπισκόπου· καὶ καταλαβὼν τὴν πόλιν ἐκείνην. τὴν
εἰς Χριστὸν πίστιν ἐδίδασκε τὸν λαόν· ἦν δὲ ναὸς ἐν τῇ Χερ-
σῶνι. τοῦ Παρθενίου εἰδώλου λεγόμενος· καὶ κελευόμενος
αὐτὸν καταλῦσαι· καὶ ἀντ' αὐτοῦ ναὸν κτίσαι ἐπ' ὀνόματι
τοῦ ἁγίου ἀποστόλου Πέτρου. ὃ ποιῆσαι καὶ μέλλοντος αὐτοῦ
ἐπὶ τῷ ἔργῳ ἐγχειρῆσαι κτίζειν· ἐμάνησαν δὲ οἱ Ἕλληνες καὶ
οἱ Ἰουδαῖοι. καὶ ἐφιλονείκουν τὸν ἅγιον ὡς καταλύτην
τοῦ ἑαυτῶν θεοῦ· καὶ περιεβιάσησαν αὐτόν· εἰπόντες ὅτι ἐὰν
εἰσέλθῃς εἰς μίαν τῶν καμίνων· καὶ ἐξέλθῃς ἀβλαβής·
οὐ μόνον πιστεύσομεν πάντες· ἀλλὰ καὶ τὰ παιδία ἡμῶν
ἐμβαλοῦμεν εἰς τὴν κάμινον· εἰσῆλθε δὲ ὁ ἐπίσκοπος εἰς
τὴν κάμινον. καὶ ἐξῆλθεν ὑγιής· καὶ ἰδόντες οἱ εἰδωλολάτραι ἐπί-
στευσαν ἅπαντες τῷ Χριστῷ· καὶ τότε κατέλυσαν τῶν εἰδώλων τὸν ναόν· πολ-
λὰ δὲ καὶ ἄλλα θαύματα ποιήσας ὁ ἅγιος ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν·

26.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Χρυσογόνου·

Χρυσόγονος ὁ μάρτυς ὑπῆρχεν ἐκ τῆς μεγαλοπόλεως ῥώμης·
ἐπὶ διοκλητιανοῦ τοῦ βασιλέως· ἀνὴρ εὐσεβὴς καὶ φοβού
μενος τὸν θεόν· διδάσκαλος γενόμενος εἰς τὴν πίστιν εἰς χριστὸν
τῆς ἁγίας καὶ εἰς τὰ ἱερὰ γράμματα τῆς ἁγίας μάρτυρος ἀ
ναστασίας· διωγμοῦ δὲ κινηθέντος, ἐκρατήθη καὶ εἰς
φυλακὴν ἐνεβλήθη· ὅτε καὶ ἔγραψε πρὸς αὐτὸν ἡ ἁγία ἀνα
στασία, ἵνα εὔξηται ὑπὲρ αὐτῆς· καὶ εἰ μὲν γένηται ὁ ἀνὴρ
αὐτῆς χριστιανός, σωθῇ· εἰ δὲ οὐ πείθεται, ἵνα ἀποθάνῃ·
καὶ μὴ τὸν πλοῦτον αὐτῆς δαπανήσῃ μετὰ εἰδωλολατρῶν· ἀλ
λὰ κατακενώσῃ αὐτὸν ἡ ἁγία εἰς τοὺς ἁγίους καὶ εἰς τοὺς πτωχούς·
ὅπερ καὶ γέγονε· τότε ἡ ἁγία ἀδείας λαμβάνουσα, ἐρόγευσε πάν
τα ὅσα εἶχε τοῖς πτωχοῖς· καὶ ἐνδυσαμένη πενιχρὰν στολήν,
περιήρχετο καὶ διηκόνει τοῖς ἁγίοις ἐν ταῖς φυλακαῖς· ὅτε
καὶ ὁ διοκλητιανὸς ἦν ἐν ἀκυληΐᾳ διατρίβων· ἔγραψεν εἰς ῥώ
μην πάντας ἀποθανεῖν τοὺς χριστιανούς· τὸν δὲ χρυσόγονον
δέσμιον ἀχθῆναι ἐν ἀκυληΐᾳ· καὶ ἀχθέντα, ἀπεκεφάλισεν αὐτόν·

22 Dec. Chrisogoni Mart. rom.

267

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων γυναικῶν Εἰρήνης, Ἀγάπης, καὶ Χιονίας.

Κατὰ τὸν καιρὸν ὅτε ὁ Χρυσόγονος ὁ μάρτυς ὑπὸ Διοκλητιανοῦ τοῦ βασιλέως διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν τὴν κεφαλὴν ἀπετμήθη· πλησίον τῆς λίμνης ἐν ᾗ κατέμενον αἱ ἅγιαι τρεῖς ἀδελφαὶ Ἀγάπη, Χιονία καὶ Εἰρήνη, μετὰ Ζωΐλου τινὸς δούλου τοῦ Θεοῦ. ἐφάνη ὁ ἅγιος Χρυσόγονος τῷ Ζωΐλῳ κατὰ τοὺς ὕπνους λέγων αὐτῷ ὅτι μέλλει ἡ ἁγία Ἀναστασία συναθροίσασθαι ταῖς ἁγίαις τρισὶν ἀδελφαῖς μετ' ὀλίγου [illegible] τὸ στάδιον τοῦ μαρτυρίου· ταῦτα ἀκούσασα ἡ ἁγία Ἀναστασία, ἠκολούθησε τῷ ἁγίῳ Χρυσογόνῳ· καὶ εἰσελθοῦσα εἰς τὰς ἁγίας καὶ ἠσπάσατο αὐτάς, καὶ ἐδούλευεν αὐταῖς· εἶτα μαθὼν ὁ Διοκλητιανὸς ἐκράτησεν αὐτάς· καὶ παρέδωκε τῷ τῆς χώρας ἄρχοντι· καὶ ἐτιμωρήθησαν ὑπ' αὐτοῦ· καὶ πάλιν παρεδόθησαν ἄλλῳ ἄρχοντι λεγομένῳ Σισιννίῳ· καὶ ὁ ἄρχων τὴν μὲν ἁγίαν Ἀγάπην καὶ τὴν ἁγίαν Χιονίαν πυρὶ παρέδωκε· τὴν δὲ ἁγίαν Εἰρήνην ἐκ τῶν στρατιωτῶν εἷς μετὰ σπαθίου ἐφόνευσεν.

22 Dec. [I]renes [A]gapes et [Ch]i[onia]e Sororum

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος Θεοδότης. καὶ τῶν τέκνων αὐτῆς·

Θεοδότη ἡ μάρτυς. ὑπῆρχεν ἀπὸ τῆς χώρας Βιθυνίας. ἀκούσασα δὲ περὶ τῆς ἁγίας Ἀναστασίας. ἀπῆλθε πρὸς αὐτήν. καὶ διέτριβε μετ' αὐτῆς. ἅμα τοῖς τέκνοις αὐτῆς. πρότερον δὲ ἡ ἁγία αὐτὴ ἐπεζητεῖτο πρὸς γάμον. ὑπὸ Λευκαδίου τοῦ ἄρχοντος. ἀλλ' οὐκ ἐπείθετο. ὅμως θέλουσα αὐτὸν ἐκφυγεῖν. ἐμήνυσεν αὐτῷ. μικρὸν ἀναμεῖναι αὐτήν. καὶ τότε ποιῆσαι τὸ θέλημα αὐτοῦ. τοῦ δὲ ἄρχοντος ἀναμένοντος. αὐτὴ τὸν πλοῦτον αὐτῆς δοῦσα πτωχοῖς. ἐδούλευε τοῖς ἁγίοις. ἀκούσας δὲ Διοκλητιανὸς ὅτι πᾶσαι αἱ φυλακαὶ καὶ τὰ ἐργαστήρια γέμουσι τῶν χριστιανῶν. ἐκέλευσε πάντας ἐν μιᾷ νυκτὶ φονευθῆναι. τοὺς μὲν διὰ πυρός. τοὺς δὲ δι' ὕδατος. τοὺς δὲ διὰ ξίφους. τότε ὁ Λευκάδιος παρέδωκε τὴν ἁγίαν Θεοδότην καὶ τὰ παιδία αὐτῆς Νικητίῳ τῷ ἄρχοντι Βιθυνίας. ἵνα ἀναγκάσῃ θῦσαι αὐτούς. καὶ ὁ Νικήτιος ἐλεγχθεὶς ὑπὸ Εὐόδου τοῦ πρώτου υἱοῦ αὐτῆς. ὀργισθεὶς ἀνάψας μεγάλην κάμινον ἔβαλεν εἰς αὐτὴν αὐτὴν καὶ τὰ παιδία αὐτῆς·

22 Dec. Theodota et filii

✱ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ. ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΔΕΚΑ ΜΑΡΤΥΡΩΝ ΤΩΝ ΕΝ ΚΡΗΤΗ·

κα

Οὗτοι ἦσαν ἐπὶ τῆς βασιλείας Δεκίου· ἐν τῇ νήσῳ τῆς Κρή-
της· οὐκ ἀπὸ μιᾶς πόλεως· ἀλλ' ἐκ διαφόρων τῆς χώ-
ρας μερῶν· καὶ ἀπὸ μὲν τῆς μητροπόλεως Γορτύνης·
ἦσαν πέντε· Θεόδουλος· Σατορνῖνος· Εὔπορος· Γελάσιος·
Εὐνικιανός· ἀπὸ δὲ Κνωσσοῦ, Ζωτικός· ἀπὸ δὲ τοῦ Ἐπιμεί-
ου, Λεβήνης Πόμπιος· ἐκ δὲ τοῦ Πανόρμου, Ἀγαθόπους·
ἀπὸ δὲ Κυδωνίας, Βασιλείδης· καὶ ἀπὸ τοῦ Ἡρακλείου,
Εὐάρεστος· οὗτοι κρατηθέντες παρὰ τῶν ἀπίστων, τῷ τῆς
νήσου ἄρχοντι παρεδόθησαν· ἐκεῖνος δὲ τῷ πλήθει τοῦ
λαοῦ προσέταξεν δῆσαι αὐτούς· καὶ ὑβρίζειν μὴ εἴκοντας τοῖς
νόμοις τῶν εἰδώλων· καὶ εἰ μὴ θύσουσιν, ἰσχυρῶς ὡς
θέλουσιν αὐτοὺς τιμωρήσασθαι· ἐπὶ τριάκοντα δὲ
ἡμέραις· περιβαλλόμενοι· παιζόμενοι· τυπτόμενοι·
λιθοβολούμενοι· κατὰ τῆς γῆς ἐν κοπρίαις συρόμε-
νοι· ὕστερον τοῦ ἄρχοντος προκαθίσαντος, ἐνώπιον αὐτοῦ
ἀπεκεφαλίσθησαν εὐχαριστοῦντες μέχρι τέλους τῷ Θεῷ·

23 Dec. Decem Sanctor. Martyr. in Creta

Μηνὶ τῷ αὐτῷ κδʹ. Ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐγενίας καὶ τῶν σὺν αὐτῇ.

Ἐπὶ τῆς βασιλείας Κομόδου, ἦν ἡ ἁγία Εὐγενία θυγάτηρ Φι-
λίππου τοῦ ἐπάρχου Ῥώμης· τοῦ δὲ πρὸς αὐτῆς εἰς Ἀλε-
ξάνδρειαν ἀποσταλέντος παρὰ Κομόδου ἵνα γένηται
ἔπαρχος· ἐπεὶ καὶ ἡ γυνὴ αὐτοῦ καὶ τὰ παιδία ἀπῆλ-
θον, ἀπῆλθε δὲ καὶ ἡ ἁγία Εὐγενία· καὶ ἐκεῖ ἔμαθε πᾶσαν
γραφὴν ἑλληνικὴν καὶ χριστιανικήν· ἐπειδὴ δὲ [illegible]
[illegible]· ἐνέτυχε καὶ ταῖς ἐπιστολαῖς τοῦ ἁγίου ἀποστόλου
Παύλου· καὶ ἐξ αὐτῶν γενομένη χριστιανή, ἔμαθε πᾶσαν
ἀρετήν· εἶτα ἀφῆκε τὴν πατρικὴν δόξαν· καὶ ἀπῆλ-
θεν εἰς μοναστήριον, καὶ ἐβαπτίσθη· καὶ γέγονε μοναχή·
ἀλλ' ἐν σχήματι ἀνδρείῳ· καὶ γὰρ ἑαυτὴν εὐνοῦχον ἔλεγ-
εν εἶναι· τῷ χρόνῳ δὲ διαγνωσθεῖσα· καὶ ἀναγνωρισθεῖσα
Φιλίππῳ τῷ πατρὶ αὐτῆς, ἐποίησε καὶ ἐκεῖνον χρι-
στιανόν· ὁμοίως καὶ τὴν μητέρα, καὶ τοὺς συγγενεῖς· μετ-
ὰ μικρὸν δὲ ὁ πατὴρ αὐτῆς ἐπίσκοπος γέγονε· καὶ μετὰ
ταῦτα ἅπαντες τὸ διὰ μαρτυρίου τέλος ἐδέξαντο.

24 Dec. Eugenia et socii Mart.

271

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ. Η ΑΝΑΜΝΗΣΙΣ ΤΗΣ ΑΧΡΑΝΤΟΥ ΓΕΝΝΗΣΕΩΣ ΤΟΥ ΚΥ ΗΜΩΝ ΙΥ ΧΥ·:

Ἰδὼν ὁ φιλάνθρωπος θεὸς τὸ γένος τῶν ἀνθρώπων ὑπὸ τοῦ διαβόλου τυραννούμενον, ἐσπλαγχνίσθη· καὶ ἀποστείλας τὸν ἄγγελον αὐτοῦ Γαβριὴλ εἰς τὴν θεοτόκον· χαῖρε κεχαριτωμένη ὁ κύριος μετὰ σοῦ· καὶ εὐθέως συνέλαβεν ἡ θεοτόκος τὸν κύριον ἡμῶν καὶ θεὸν ἐν τῇ ἀχράντῳ μήτρᾳ αὐτῆς· καὶ πληρωθέντων τῶν ἐννέα μηνῶν ἀπὸ τῆς συλλήψεως, ἐξῆλθεν ὁρισμὸς παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· καὶ ἀπεστάλη Κυρήνιος εἰς τὰ Ἱεροσόλυμα· εἰς Βηθλεέμ. ποιῆσαι ἀπογραφήν· ἀνέβη δὲ καὶ Ἰωσὴφ ὁ φύλαξ τῆς θεοτόκου σὺν αὐτῇ. ἀπογραφῆναι εἰς Βηθλεέμ· καὶ ἐπεὶ ἔμελλε τεκεῖν ἡ παρθένος· μὴ εὑρίσκουσα οἴκημα διὰ τὸν πολὺν λαόν. εἰσῆλθεν εἰς πένιχρον σπήλαιον. καὶ ἐκεῖ ἔτεκεν ἀφθόρως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ ἐσπαργάνωσεν ὡς βρέφος τὸν τῶν ἁπάντων κτίστην· καὶ ἔθηκεν ἐν τῇ τῶν ἀλόγων φάτνῃ. ὡς μέλλοντα ῥύσασθαι ἡμᾶς τῆς ἀλογίας·:

Τῇ αὐτῇ ἡμέρᾳ. ἡ τῶν μάγων προσκύνησις·

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη τις μάντις λεγόμενος Βα-
λαάμ. ἐν τῇ τῶν Περσῶν χώρᾳ· καὶ μαντευσάμενος
καὶ ἄλλα πολλά. εἶπε καὶ τοῦτο· ἀνατελεῖ ἄστρον ἐξ Ἰα-
κώβ· καὶ θραύσει τοὺς ἡγεμόνας Μωάβ· ἐντεῦθεν οὖν οἱ ἄλλοι
μάντεις καὶ μάγοι τὴν τοιαύτην προφητείαν κατὰ δια-
δοχήν. ἐδίδασκον πάντας τοὺς τῶν Περσῶν μάντεις·
καὶ περιῆλθε καὶ εἰς τοὺς μετὰ ταῦτα μάγους ὁμοῦ καὶ βα-
σιλεῖς τῶν Περσῶν τρεῖς ὄντας. καὶ παρετήρουν πό-
τε ἴδωσιν ἄστρον τοιοῦτον· ὡς οὖν ἀστρονόμοι ὄντες ἰδόν-
τες τὸν τοῦ Χριστοῦ ἀστέρα· ὅτι οὐκ ἐποίει τὴν πορείαν ὡς
οἱ λοιποὶ ἀστέρες ἀπὸ ἀνατολῶν ἐπὶ δύσιν· ἀλλ᾽ ὡς πρὸς
μεσημβρίαν· ἔγνωσαν ὅτι γέννησιν μεγάλου βασιλέως
δηλοῖ· καὶ ἠκολούθησαν τῷ ἀστέρι· καὶ εὗρον Χριστὸν τὸν
Κύριον· καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ προσήνεγ-
καν δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν· καὶ οὕτως τῇ προσ-
τάξει τοῦ ἀγγέλου ὑπέστρεψαν μετὰ χαρᾶς εἰς τὴν χώραν αὐτῶν·

Τῇ αὐτῇ ἡμέρᾳ. Ἰωσὴφ ὁ μνήστωρ καὶ φύλαξ τῆς παρθένου χρηματιζόμενος ὑπὸ τοῦ θείου ἀγγέλου.

Μαθὼν Ἡρώδης ὁ τῶν Ἰουδαίων ἀρχηγὸς παρὰ τῶν μάγων· ὅτι βασιλεὺς ἐγεννήθη μέγας· ὅστις μέλλει τὸν ὅλον κόσμον ὑποτάξαι· προσεκαλέσατο τοὺς μάγους καὶ εἶπεν· ἀπελθόντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε ἀπαγγείλατέ μοι· ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ· τοῦτο δὲ ἔλεγεν ἵνα μαθὼν ποῦ ἐστιν· ὅπως ἀποστείλῃ καὶ φονεύσῃ αὐτό· εἶτα προσκαλεσάμενος τοὺς γραμματεῖς ἠρώτησε· ποῦ λέγει ἡ γραφὴ τὸν Χριστὸν γεννηθῆναι· οἱ δὲ εἶπον· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· τότε ἀποστείλας τοὺς στρατιώτας αὐτοῦ, φονεῦσαι πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ ἀπὸ διετοῦς καὶ κατωτέρω· κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων· διὰ τοῦτο ἀποσταλεὶς ἄγγελος ἐκ θεοῦ εἶπε τῷ Ἰωσήφ· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον· ὁ δὲ Ἰωσὴφ ἐποίησεν οὕτως· καὶ παραλαβὼν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, ἀπῆλθεν εἰς Αἴγυπτον·

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΣ. Η ΘΚΟΣ ΦΕΥΓΟΥΣΑ ΕΙΣ ΑΙΓΥΠΤΟ(Ν)·:·

ἰς αἴγυπτον φεύγει ἡ θεοτόκος μετὰ τοῦ βρέφους καὶ
τοῦ ἰωσήφ. διὰ δύο προφάσεις· ἵνα πληρωθῇ τὸ ῥη-
θὲν ὑπὸ τοῦ προφήτου. ὅτι ἐξ αἰγύπτου ἐκάλεσα τὸν
υἱόν μου· καὶ ἵνα ἐμφράξῃ τὰ στόματα τῶν αἱρετικῶν· εἰ
γὰρ οὐκ ἔφυγεν ἀλλ' ἐκρατήθη τὸ βρέφος εἰ μὲν ἐφο-
νεύθη. ἐνεποδίζετο ἡ τῶν ἀνθρώπων σωτηρία· εἰ δὲ οὐκ ἐφονεύ-
θη· μήτε ὑπὸ σπαθίου κοπτόμενον· μήτε ὑπὸ ἄλλου
τινὸς ξίφους. ἢ ἄλλης τιμωρίας· διὰ τὸ πληρῶσαι τὴν
οἰκονομίαν. δόξαν εἶχε τοῖς πολλοῖς. ὅτι κατὰ φαντα-
σίαν ἐγένετο· καὶ οὐ κατὰ ἀλήθειαν ἐφόρεσεν ἀνθρωπίνην σάρ-
κα· εἰ γὰρ ἐφόρει σάρκα φησίν. ἐκόπτετο ἂν ὑπὸ τοῦ σπα-
θίου· ὅπου γε καὶ προφάσεως μὴ γενομένης, ἐτόλμη-
σαν οἱ ἄθλιοι αἱρετικοὶ τοῦτο εἰπεῖν. ὅτι κατὰ φαντασίαν
ἐγεννήθη· διὰ τοῦτο φεύγει εἰς αἴγυπτον· ἵνα καὶ τὰ ἐκεῖσε
συντρίψῃ εἴδωλα· καὶ τὴν οἰκουμένην ὅλην σώσῃ. κατὰ
τὸν καιρὸν τῆς σωτηρίου προόδου καὶ τῆς ἀναστάσεως·:·

26 Dec. [illegible]

Μηνὶ τῷ αὐτῷ κζ΄. ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου·

Στέφανος ὁ πρωτομάρτυς, ἐγένετο μαθητὴς τῶν ἁγίων ἀποστόλων· μετὰ δὲ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, προεχειρίσθη μετὰ καὶ ἄλλων ἑπτὰ εἰς τὸ διακονεῖν τοῖς ἀποστόλοις ἐν ταῖς τραπέζαις· ὑπάρχων δὲ πλήρης πίστεως καὶ σοφίας, ἐποίει σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ, διδάσκων αὐτοὺς καὶ εὐαγγελιζόμενος τὰ περὶ τοῦ Χριστοῦ· γενομένης δὲ ζητήσεως παρὰ τῶν Λιβερτίνων καὶ τῶν Κυρηναίων, συνέβησαν ἐπὶ Στεφάνῳ, συζητοῦντες αὐτῷ· καὶ νικηθέντες ὠργίσθησαν· διαλεχθέντος καὶ διδάξαντος τοῦ ἁγίου Στεφάνου πολλὰ ἀπὸ τῶν θείων γραφῶν· καὶ θυμωθέντες, ἤρξαντο τρίζειν τοὺς ὀδόντας καὶ λιθοβολεῖν αὐτόν· ὁ δὲ λιθοβολούμενος, θεὶς τὰ γόνατα προσηύχετο λέγων· κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ τοῦτο εἰπών, εἶδε σχιζομένους τοὺς οὐρανούς· καὶ τὸν υἱὸν τοῦ θεοῦ ἑστῶτα ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ πατρός· καὶ προσκαλούμενον αὐτόν· καὶ οὕτως ἐτελειώθη·

27 Dec. Stephani Protomartyris et Archidiaconi

Μηνὶ τῷ αὐτῷ κη΄. Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Γραπτοῦ.

Οὗτος ὥρμητο ἀπὸ Συρίας μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Θεοφάνους
τοῦ ποιητοῦ τῶν κανόνων· μονάσας δὲ πρότερον ἐν τῇ
λαύρᾳ τοῦ ἁγίου Σάβα· καὶ πολλὰ ἀγωνισάμενος εἰς ἀ-
ρετήν· ὕστερον ἦλθεν ἐν Κωνσταντινουπόλει ἐπὶ τῆς βα-
σιλείας Θεοφίλου τοῦ εἰκονομάχου· καὶ καταναγκαζόμενος
ἀρνήσασθαι τὴν προσκύνησιν τῶν ἁγίων εἰκόνων· καὶ
μὴ πεισθεὶς· εἰς ἐξορίαν ἐκπέμπεται· πρότερον κατα-
κεντηθεὶς· καὶ καταγραφεὶς τὸ τίμιον αὐτοῦ πρόσω-
πον· διὰ βελόνης καὶ μέλανος· καὶ ὡς εἷς τῶν κα-
κούργων καὶ φυγόντων δούλων καθυβρισθείς· διότι
ἐπαρρησιάσατο ὑπὲρ τοῦ δικαίου· καὶ οὐκ ἠθέλη-
σεν ἀρνήσασθαι τὴν τιμὴν καὶ τὸ σέβας τῶν ἁγίων
καὶ σεπτῶν εἰκόνων· ἀλλὰ μέχρι τέλους ἀντιστῆναι
ὑπὲρ τῆς ἀληθινῆς ὁμολογίας· ἐν δὲ τῇ ἐξορίᾳ ἀ-
πελθὼν· πολλὰ πάλιν ἀγωνισάμενος· καὶ πολλοὺς
τῷ ὀρθοδόξῳ ἐνστηρίξας· πρὸς κύριον ἐξεδήμησεν.

28 Dec. Theodori graptis, nec acubus perfossi è Syria. [illegible]

277

κη ✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως:

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν τῆς αὐτῆς Κωνσταντινουπόλεως καὶ γέννημα καὶ θρέμμα· ἐγένετο δὲ πρότερον διὰ τὴν εὐλάβειαν αὐτοῦ πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· οὐ μόνον δὲ πρεσβύτερος, ἀλλὰ καὶ σύγκελλος καὶ σκευοφύλαξ· τοσοῦτον γὰρ ἐτιμᾶτο παρά τε τοῖς βασιλεῦσι καὶ τῷ πατριάρχῃ καὶ τῇ συγκλήτῳ καὶ τῇ συνόδῳ πάσῃ· ἦν γὰρ συνετὸς καὶ γνωστικὸς καὶ ἐλεήμων καὶ συμπαθής. καὶ πάντα τὰ θεῷ ἀρέσκοντα ἐν ἑαυτῷ περιφέρων· διὰ ταῦτα δὲ τοῦ πρὸ αὐτοῦ πατριάρχου Κωνσταντίνου τελευτήσαντος, ψήφῳ τοῦ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῶν ἐπισκόπων καὶ τοῦ λαοῦ παντὸς, προχειρίζεται πατριάρχης τοῦ θρόνου Κωνσταντινουπόλεως· καὶ καλῶς ποιμάνας τὸ ποίμνιον αὐτοῦ καὶ κυβερνήσας τὴν ἁγίαν ἐκκλησίαν ὀρθοδόξως καὶ εὐαρέστως ἐπὶ ἔτη δύο καὶ μῆνας τρεῖς, πρὸς κύριον ἐξεδήμησεν:

28 Dec. Theodori Archiep. Constantinop.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰνδῆ καὶ Δόμνας·

Ἡ μάρτυς Δόμνα ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως·
ἐν πόλει Νικομηδείας· ἱέρεια τοῦ ἐν τῷ παλατίῳ δωδεκα-
θέου· ἐντυχοῦσα δὲ ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων· καὶ
ταῖς ἐπιστολαῖς τοῦ ἁγίου Παύλου· καὶ παρ' αὐτῶν τὴν ψυχὴν
φωτισθεῖσα· καὶ τὴν ἀλήθειαν ἐκμαθοῦσα, ἐπίστευσε
τῷ Χριστῷ· καὶ ἐβαπτίσθη παρὰ Κυρίλλου ἐπισκόπου Νικο-
μηδείας· ἅμα Ἰνδῇ τῷ εὐνούχῳ καὶ ἄλλοις πολλοῖς· καὶ
ἀπὸ τότε εἴ τι ἐλάμβανεν ἀπὸ τοῦ παλατίου, ἐδίδου
τοῖς πτωχοῖς· διαγνωσθεῖσα δὲ παρὰ τοῦ ἀρχιευνούχου·
καὶ μέλλουσα τιμωρεῖσθαι, προεφασίσατο παραφρο-
σύνην· καὶ ἀποσταλεῖσα εἰς τὸν ἐπίσκοπον ἵνα θεραπευ-
θῇ· καὶ ἦν μετὰ τῶν Χριστιανῶν· ὁ δὲ Μαξιμιανὸς ὑπο-
στρέψας ἀπὸ τοῦ ταξειδίου, ἐζήτει τὴν Δόμναν· καὶ μὴ εὑρὼν, ἐ-
πικράνθη· καὶ προσέταξεν ἀναιρεθῆναι πάντας τοὺς Χριστιανούς·
τότε ἡ ἁγία Δόμνα ἐνδυσαμένη ἀνδρικὴν στολὴν, νυκτὸς ἀνελαμ-
βανε τὰ τῶν ἁγίων τὰ λείψανα καὶ ἔθαπτε· καὶ γνωσθεῖσα ἀπεκεφαλίσθη·

28 Dec. Inda eunuch. et Domna Mart. Nicomed.

279

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων δισμυρίων
μαρτύρων :·

Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ τοῦ κατὰ τῶν Αἰθιόπων ὑπο-
στρέψαντος πολέμου μετὰ νίκης· καὶ βουλομένου ἐπινίκια
θῦσαι τοῖς εἰδώλοις· ἐμήνυσαν πανταχοῦ συνελθεῖν ἅ-
παντας εἰς τὴν προσκύνησιν τῶν εἰδώλων· τῆς δὲ
ἐκκλησίας τῶν χριστιανῶν γεμούσης τοῦ λαοῦ· καὶ
γὰρ ἦν ἑορτὴ τῶν ἁγίων Χριστοῦ γεννῶν· ἑορτάζοντες οἱ χρι-
στιανοὶ ἔχαιρον. καὶ οὐκ ἠθέλησαν ἐξελθεῖν τῆς ἐκ-
κλησίας καὶ προσκυνῆσαι τοῖς ἀκαθάρτοις δαίμοσι·
καὶ μαθὼν τοῦτο ὁ Μαξιμιανός, προσέταξε κύκλω
τῆς ἐκκλησίας τεθῆναι φρύγανα· καὶ ἐξαφθῆναι.
καὶ κατακαῆναι τοὺς χριστιανούς· καὶ ἀκούσας τοῦ-
το ὁ ἐπίσκοπος, ἐβάπτισε πάντας τοὺς κατηχουμέ-
νους· καὶ λειτουργήσας, μετέδωκε πᾶσι τῶν ἀχράντων
μυστηρίων· καὶ οὕτως ἀναφθέντων τῶν φρυγάνων, ἐτελει-
ώθησαν ἅπαντες δισμύριοι ὄντες· ὁ δὲ ἐπίσκοπος Θεοῦ χά-
ριτι διεφυλάχθη, ἵνα καὶ ἑτέρους ὠφελήσῃ καὶ βαπτίσῃ :·

26 Dec

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἀπὸ τῆς συγκλήτου καὶ τῶν ἔξω τῆς πυρᾶς ὑπολειφθέντων ἁγίων μαρτύρων.

Ταῦτα πράξας ὁ μιαρὸς Μαξιμιανὸς προσέταξε καὶ τοὺς ἔξω τῆς πυρᾶς ὑπολειφθέντας χριστιανοὺς φονευθῆναι. φονεύονται δὲ ὁ ἅγιος Ἴνδης καὶ Γοργόνιος καὶ Πέτρος λίθοις προσδεθέντες καὶ ἐν θαλάσσῃ ῥιφέντες. ὁ δὲ ἅγιος Ζήνων συντριβεὶς τὴν ὄψιν καὶ τοὺς ὀδόντας μετὰ λίθων. Δωρόθεος ὁ πραιπόσιτος τὴν κεφαλὴν ἀποτέμνεται. Μαρδόνιος πυρὶ φλέγεται. Μυγδόνιος εἰς βόθρον ἐμβάλλεται. Γλυκέριος ὁ πρεσβύτερος πυρὶ τελειοῦται. Θεόφιλος ὁ διάκονος τὴν γλῶτταν ἐκτμηθεὶς ἐν τῷ καμίνῳ λιθοβολεῖται. καὶ ἕτεροι πολλοὶ καὶ ἐκείνην τὴν ἡμέραν τὸν τῆς μαρτυρίας ἐδέξαντο στέφανον. τούτων πάντων τὰ ἅγια λείψανα ἡ ἁγία Δόμνα συνάρασα ἐν ἐκκλησίᾳ. εἶτα ἐν πλοίῳ ἐνθεῖσα καὶ ἐν ἐπιτηδείῳ κρύψασα τόπῳ. διεμηνύθη τῷ Μαξιμιανῷ καὶ τῇ προστάξει ἐκείνου πρὸ τοῦ εἰδώλου ἀποτμηθῆναι τὴν κεφαλὴν εἶτα ἐκ πυρὶ κατεκάη.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ. Η ΑΝΑΙΡΕΣΙΣ ΤΩΝ ΕΝ ΤΗ ΒΗΘΛΕΕΜ ΑΓΙΩΝ ΝΗΠΙΩΝ·

Προστάξας ὁ βασιλεὺς τῶν Ἰουδαίων Ἡρώδης τοῖς μάγοις
τοῦ ἐξετασθῆναι καὶ διαγγεῖλαι αὐτῷ περὶ τοῦ γεννη-
θέντος βασιλέως, ὃν ὁ ἀστὴρ ὡδήγει, κολουθοῦσιν ἐκείνοις ἐν·
ὅπως σὺν ἐκείνοις προσκυνήσῃ αὐτῷ· καὶ τοῦ ἀγ-
γέλου εἰπόντος αὐτοῖς μὴ ἀνακάμψαι πρὸς Ἡρώδην·
ἀλλὰ δι' ἄλλης ὁδοῦ ἀναχωρῆσαι εἰς τὴν χώραν αὐτῶν·
καὶ τοῦτο ποιησάντων· ἰδὼν ὅτι ἐνεπαίχθη ὑπ' αὐτῶν,
ἐπικράνθη· καὶ ἐψηφίσατο ἀκριβῶς τὸν χρόνον τοῦ φαι-
νομένου ἀστέρος· καὶ ἀποστείλας στρατιώτας ἐφόνευ-
σε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ, ἀπὸ διετοῦς
καὶ κατωτέρω· τοῦτο θέμενος ἐν τῇ διανοίᾳ· ὅτι εἰ πάν-
τας τοὺς παῖδας φονεύσει, πάντως ἀποθανεῖται καὶ
ὁ μέλλων βασιλεῦσαι, καὶ οὐκ ἐπιβουλεύσει αὐτῷ· ἀλ-
λ' εἰς μάτην ἐκοπίασεν ὁ παράφρων· μὴ εἰδὼς ὅτι Θεοῦ
βουλὴν ἄνθρωπος ἐμποδίσαι οὐ δύναται· ὅθεν ἐκείνοις μὲν
προξενήσας βασιλείαν οὐρανῶν· ἑαυτῷ δὲ κόλασιν αἰώνιον·:

29 Dec. Innocentium occisio in Bethlehem

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκέλλου μονῆς τῶν Ἀκοιμήτων.

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Μάρκελλος, ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς Συρίας· ἀπὸ ἐνδόξων γονέων καὶ περιφανῶν· ἔμαθε δὲ πᾶσαν γνῶσιν καὶ ἐπιστήμην· εἶτα καταλιπὼν τὸν κόσμον καὶ τὸν οἶκον τὸν πατρικόν, καὶ παραγενόμενος εἰς Ἔφεσον· καὶ εἰς μοναστήριον εἰσελθών, καλῶς ἐμόνασεν· εἶτα παραγενόμενος πρὸς τὸν ὅσιον Ἀλέξανδρον ὄντα ἐν τῇ μονῇ τῶν Ἀκοιμήτων· μαθὼν περὶ τῆς ἐνθέου καὶ ὑψηλῆς αὐτοῦ ἀρετῆς· ἐν τῇ τοιαύτῃ μονῇ τὴν διαγωγὴν ποιησάμενος· καὶ πάντας ὑπερνικῶν εἰς ἀρετήν, μετὰ τὸν θάνατον Ἀλεξάνδρου, καὶ Ἰωάννου τοῦ μετὰ Ἀλέξανδρον ἡγουμενεύσαντος, ἐγένετο ἡγούμενος· τοσοῦτον δὲ ἠγωνίσατο εἰς ἀρετήν, ὡς καὶ χάρισμα θαυματουργίας δέξασθαι παρὰ Θεοῦ· ἀλλὰ καὶ προφητείας· ὅθεν πολλῶν θαυμάτων ἐπιδεξάμενος δύναμιν· καὶ τοῖς βασιλεῦσι καὶ παντὶ τῷ λαῷ τίμιος φανείς, ἐν εἰρήνῃ ἐτελειώθη.

29 Dec. Marcelli ex Mon. Acoemet.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ. ΑΘΛΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ
ΑΝΥΣΙΑΣ∶

Ἡ ἁγία μάρτυς ἀνυσία. ὑπῆρχεν ἐπὶ μαξιμιανοῦ καὶ
σιλβανοῦ· ἐκ πόλεως θεσσαλονίκης· γονεῖς ἔχουσα ε-
ὐγενεῖς καὶ πιστοὺς καὶ πλουσίους· ἀλλὰ ἐκείνων ἀ-
ποθανόντων. ὑπελείφθη ἡ ἁγία καταμόνας· διὰ λόγ-
ου καὶ πράξεως εὐχαριστοῦσα τῷ θεῷ· ἐν μιᾷ δὲ τῶν
ἡμερῶν κατὰ τὸ ἔθος ἀπερχομένη εἰς τὴν ἐκκλη-
σίαν. συνήντησεν αὐτῇ στρατιώτης τις τῶν εἰδώλων
προσκυνητής· καὶ κρατήσας αὐτὴν. ἠνάγκαζεν
ἀπελθεῖν καὶ θῦσαι τοῖς εἰδώλοις· ὡς δὲ οὐκ ἔπεισε
τὴν ἁγίαν· ἰσχυρῶς ἀντεχομένην· καὶ ἐμπτύσασαν
εἰς τὸ πρόσωπον αὐτοῦ· θυμωθεὶς κατὰ τὴν πλευ-
ρὰς αὐτῆς διελαύνει τὸ σπαθίον· καὶ δεξαμένη τὴν
ἐπώδυνον καιρίαν ταύτην πληγὴν ἡ ἁγία. ἕ-
ως ἔπεσεν ἐπὶ τὴν γῆν· ἀλλὰ καὶ πεσοῦσα. τῆς πρὸς
θεὸν εὐχαριστίας τε καὶ εὐχῆς οὐκ ἀφίστατο· καὶ οὕτως ἐπὶ
πολλαῖς ταῖς ὥραις ποιοῦσα, παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ κυρίῳ∶

30 Dec. Anisia Mart.

✠ ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΙΜΩΝΟΣ. ΕΝΟΣ ΤΩΝ ΕΠΤΑ ΔΙΑΚΟΝΩΝ ·

Τίμων ὁ τοῦ χριστοῦ ἀπόστολος· ὑπῆρχε μὲν εἷς ἐκ τῶν ἑβδομήκοντα ἀποστόλων· προεχειρίσθη δὲ ὑπὸ τῶν μεγάλων ἀποστόλων εἰς τὸ διακονεῖν ταῖς τραπέζαις τῶν προσερχομένων τῷ χριστῷ καὶ βαπτιζομένων, μετὰ τῶν ἄλλων ἓξ διακόνων· ἐν οἷς ἦν ὁ μέγας στέφανος ὁ πρωτομάρτυς· ἀλλ' ὕστερον γενόμενος καὶ ἐπίσκοπος ὑπὸ τῶν αὐτῶν μεγάλων ἀποστόλων τῆς πόλεως βοστρῶν, χώρας τῆς ἀραβίας· καὶ διδάσκων ἐπὶ τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ· καὶ πολλοὺς πείθων τῶν ἑλλήνων λόγοις καὶ θαύμασι· τὴν μὲν πατροπαράδοτον αὐτῶν θρησκείαν καταλιμπάνειν· ἐπιστρέφειν δὲ ἐπὶ τὴν ἀληθινὴν πίστιν. ἐπεβουλεύθη ὑπὸ τῶν δυσσεβῶν εἰδωλολατρῶν· ταῖς ὑπονοίαις τῶν φθονερῶν ἰουδαίων· μὴ φερόντων ἀκούειν τὸ τοῦ χριστοῦ ὄνομα παρρησίᾳ κηρυττόμενον· καὶ κρατηθεὶς καὶ διαφόρως κακωθείς, ὕστερον εἰς κάμινον ἐνεβλήθη· καὶ τῆς καμίνου ἐξελθὼν ἀβλαβὴς καὶ ὀλίγον ἐπιβιώσας, πρὸς χριστὸν ἐξεδήμησε χαίρων.

287

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑ. ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΜΕΛΑΝΗΣ ΤΗΣ ΡΩΜΑΙΑΣ

Θεοδοσίου τοῦ μεγάλου τῆς ἐπιγείου βασιλείας τὴν οὐράνιον
ἀνταλλαξαμένου· καὶ πρὸς τὸν ἀθάνατον ἐκδημήσαντος
βασιλέα· τῆς μὲν μεγάλης ῥώμης καὶ τῆς ὑπ' αὐτὴν ἐπικρα-
τείας· προστάξει ἐκείνου· ἐβασίλευσεν ἀρκάδιος ὁ πρῶ-
τος υἱὸς αὐτοῦ· τῆς δὲ παλαιᾶς ῥώμης καὶ τῆς ὑπ' ἐκεί-
νην χώρας· ἦρξεν ὁνώριος. ὁ δεύτερος υἱὸς αὐτοῦ· ἐπὶ τού-
των ἦν ἡ ὁσία μελάνη ἐν τῇ πόλει ῥώμῃ· εὐγενὴς καὶ πλου-
σία καὶ εὔμορφος· διὸ καὶ ζητουμένη πρὸς γάμον παρὰ
πολλῶν. αὐτὴ μὲν οὐκ ἤθελεν· ὅμως ὑπὸ τῶν γονέων.
συνεζεύχθη ἀνδρὶ καὶ μὴ θέλουσα· ὃν πρὸ τῆς συναφεί-
ας τὸν τοῦ θεοῦ φόβον διδάξασα. ἔπεισε κόσμου καὶ ἡδο-
νῶν καταφρονῆσαι. καὶ γενέσθαι μοναχόν· ὁμοίως καὶ
αὐτὴ σκορπίσασα πάντα τὸν πλοῦτον τὸν ἐκ τῶν γονέων
ἔλαβεν ἀναρίθμητον ὄντα εἰς τοὺς πένητας. γέγονε μο-
ναχή· καὶ οὕτως ἠγωνίσατο. ὡς καὶ θαύματα ποιῆσαι·
κτίσασα δὲ καὶ μοναστήριον εἰς θεοῦ δοξολογίαν. ἐτελεύτησεν:

31 Dec. Melanes Romane

ΜΗΝΙ ΙΑΝΝΟΥΑΡΙΩ Α. Η ΚΑΤΑ ΜΝΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΠΕΡΙΤΟΜΗΣ ΤΟΥ ΚΥ ΚΑΙ ΘΥ ΗΜΩΝ ΙΥ ΧΥ·

Ὅλος ὁ κ(ύριο)ς ἡμῶν καὶ θ(εὸ)ς· ὁ τὰς καρδίας τῶν ἀν(θρώπ)ων ἐπιστά-
μενος· καὶ τὰ μέλλοντα γινώσκων· τὴν οἰκονομίαν πλη-
ρῶσαι θέλων τῆς ἐνανθρωπήσεως αὐτοῦ· ἵνα μή τις ἐκ
τῶν αἱρετικῶν ἔχοι λέγειν ὅτι κατὰ φαντασίαν ἐγεννήθη·
Καὶ οὐ κατὰ ἀλήθειαν τὴν ἡμετέραν ἀνέλαβε σάρκα·
ὥσπερ καὶ πολλοὶ ἐτόλμησαν τῶν αἱρετικῶν εἰπεῖν· ἀμα-
λὲ καὶ ἵνα λύσῃ πᾶσαν πρόφασιν τῶν ἰουδαίων· τοῦ μὴ
λέγειν ὅτι οὐκ ἐπολιτεύσατο κατὰ τὸ ἔθος ἐκείνων καὶ
τὴν διαταγήν. πληροῖ πάντα τὰ τοῦ νόμου· Καὶ μετὰ
ἡμέρας ὀκτὼ τῆς αὐτοῦ ἀχράντου ἐκ παρθένου γεννή-
σεως· ἠθέλησεν ὡς νήπιος ἀπελθεῖν εἰς τὸν τόπον ἐν
ᾧ ἔθος εἶχον οἱ ἰουδαῖοι περιτέμνεσθαι. καὶ περιετμήθη·
Καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ ἰ(ησοῦ)ς τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου
πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ ἀφθόρῳ μήτρᾳ τῆς
θ(εοτό)κου· καὶ πάλιν ἀπελθὼν μετὰ τῶν γονέων, ἀνετρέφε-
το ἀνθρωποπρεπῶς· προκόπτων σοφίᾳ ἡλικίᾳ καὶ χάριτι·

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας:

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Βασίλειος. ἦν δὲ ἐπὶ τῆς βασιλείας Οὐάλεντος· ὅντινα Οὐάλεντα τὰ Ἀρείου τοῦ αἱρετικοῦ φρονοῦντα, παρρησιασάμενος ἤλεγξε· καὶ ἐπείσθη παρ' ὀλίγον τὴν αἵρεσιν ἀρνήσασθαι, εἰ μὴ αἰσχυνόμενον αὐτὸν ἐνεπόδισεν· ὅμως εἰ καὶ τὴν αἵρεσιν τελείως οὐκ ἠρνήσατο, τέως καὶ τῇ ἐκκλησίᾳ προσῆλθε λειτουργοῦντος τοῦ μεγάλου Βασιλείου, καὶ δῶρα προσέφερεν. ἦν δὲ ὁ μέγας Βασίλειος υἱὸς Βασιλείου, τοῦ ἀπὸ τοῦ Πόντου· καὶ Ἐμμελίας τῆς ἀπὸ τῆς Καππαδοκίας· ὅστις ἐν σοφίᾳ καὶ γνώσει πάντας καὶ τοὺς παλαιοὺς καὶ τοὺς νέους ἐνίκησε· κατεξαίρετον δὲ τοσοῦτον [illegible]· ὥστε καὶ ἀρχιερέα γενέσθαι τοῦ θρόνου Καισαρείας· ὅπου καὶ πολλοὺς ἀγῶνας ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ὑπομείνας· καὶ βασιλεῖς καὶ ὑπάρχους καταπλήξας· καὶ τῶν αἱρετικῶν τὰ στόματα ἐμφράξας τοῖς λόγοις· καὶ βιβλία πλεῖστα συγγραψάμενος· καὶ μυρία θαύματα ἐργασάμενος, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν.

1 San. Basilii Archiep. Caesareae Cappadociae

289

† Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοπέμπτου καὶ Θεοδότης :·

Theopempti et Theodotae

290 ✠ Μηνὶ τῷ αὐτῷ β'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος
Βασιλείου.

Ὁ μάρτυς Βασίλειος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰου-
λιανοῦ τοῦ παραβάτου· ἐκρατήθη δὲ ἀπὸ Ἀμύρας τῆς Γα-
λατίας· διὰ δὲ τὸ τὸν Χριστὸν σέβεσθαι καὶ ὁμολογεῖν. ἐκρατή-
θη καὶ παρεδόθη τῷ ἡγεμόνι Σατορνίνῳ· καὶ πάλιν ἐν μέ-
σῳ λαῷ αὐτοῦ ἐρωτηθεὶς εἰ ὁμολογεῖ τὸν Χριστόν. μεγάλῃ φωνῇ
ἐξεῖπε μὴ εἶναι ἕτερον ἄλλον πλὴν αὐτοῦ· ὅθεν ἐκρεμά-
σθη καὶ ἐξέσθη ἰσχυρῶς· ἀπὸ δὲ Ἀμύρας. δέσμιος ἐπεμ-
φθεὶς Κωνσταντινούπολιν· καὶ πάλιν ἐβασανίσθη πα-
ρὰ τοῦ ἐπάρχου ἰσχυρῶς· εἶτα ἐμβληθεὶς κάμινον πυ-
ρός. καὶ ἐξῆλθεν ὑγιής· καὶ τότε ἀποσταλεὶς Καισάρει-
αν. ἵνα θηριομαχήσῃ· ἐκεῖσε δὲ ἀπενεχθεὶς δεδεμένος.
ἐτέθη εἰς τὸ θέατρον ἐν ἡμέρᾳ ἱπποδρομίας· καὶ τότε
ἀπελύθη ἀγρία λέαινα ζαλιμώζασα πρότερον. ἵνα
καταφάγῃ αὐτόν· ἰδὼν δὲ ὁ ἅγιος τὸ θηρίον ἐρχόμενον
ἐπ' αὐτόν. ἤρξατο προσεύχεσθαι· καὶ προσευχόμενος συγ-
χωρήσει θεοῦ. ἐρράγη ὑπὸ τοῦ θηρίου· καὶ οὕτως ἐτελειώθη.

2 .an. Basilij Marc.

291

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σιλβέστρου πάπα Ῥώμης·

Σίλβεστρος ὁ σοφὸς διὰ πολλὴν ἀρετήν· μετὰ τὸ τελευτῆ-
σαι Μιλτιάδην τὸν ἐπίσκοπον· χειροτονεῖται τῆς
πρεσβυτέρας Ῥώμης ἐπίσκοπος· τὴν ἐκκλησίαν
δὲ ἐγχειρισθείς· καὶ τὸν μέγαν καὶ ἱερὸν ποίμνιον τῶν Χρι-
στιανῶν. πολλοὺς ἀγῶνας ὑπέμεινε· καὶ πολλὰ θαύ-
ματα ἐποίησε· καὶ τὸν μέγαν Κωνσταντῖνον τὸν πρῶ-
τον ἐν Χριστιανοῖς βασιλεύσαντα. πρὸς τὴν εἰς Χριστὸν
πίστιν ὡδήγησε· καὶ τῷ ἁγίῳ βαπτίσματι τὴν τοῦ σώ-
ματος λέπραν· καὶ τὰ τῆς ψυχῆς πάθη· διὰ τῆς ἐπι-
φανείας τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἀ-
πεκάθαρε· καὶ παρεσκεύασεν αὐτόν· τὰ μὲν εἰδωλεῖα
τῶν δαιμόνων καταστρέψαι· ναοὺς δὲ ἐν ὀνόματι τοῦ
Χριστοῦ καὶ Θεοῦ ἡμῶν· καὶ τῆς Θεοτόκου· καὶ τῶν ἁγίων ἀποστόλων
καὶ τῶν μαρτύρων κτίσαι· ἀλλὰ καὶ μέχρι τοῦ Βυζαντίου
ἠκολούθησε τῷ βασιλεῖ. πολλοὺς τὰ πρὸς σωτηρίαν διδά-
ξας· καὶ οὕτως ἐν βαθεῖ γήρᾳ, πρὸς Κύριον χαίρων ἐξεδήμησε·

✠ Μηνὶ τῷ αὐτῷ γ΄. ἄθλησις τοῦ ἁγίου μάρτυρος Γορδίου.

πὶ Λικιννίου τοῦ βασιλέως, ἦν ἔτι ὁ ἅγιος Γόρδιος ἀπὸ
τῆς Καισαρείας τῆς Καππαδοκίας· κόμης τὴν τά-
ξιν· ἔχων ὑπ' αὐτὸν στρατιώτας ἑκατόν· τὴν δὲ τῶν δυσ-
σεβῶν ἑλλήνων παρρησίαν· καὶ τὰς εἰς Χριστὸν βλασφη-
μίας μὴ φέρων ὁρᾶν. καταλιπὼν τὴν στρατείαν· καὶ
τὴν πρόσκαιρον δόξαν. καὶ ἀπελθὼν εἰς τὸ ὄρος καὶ κα-
τοικεῖ τὴν ἔρημον· μετὰ τῶν θηρίων ἀναστρεφόμενος.
Καὶ τῷ θεῷ μόνῳ προσευχόμενος· ἀλλ' αὐτοῦ Χριστοῦ ὁ πόθος
ἀνῆψε μὲν αὐτόν· καὶ κατὰ τῆς πλάνης ὁρμήσας. εἶπε
πρὸς ἑαυτόν· ἀπέλθω πρὸς τὴν πόλιν· καὶ μαρτυρή-
σω ὑπὲρ τοῦ Χριστοῦ μου. ἵνα κληρονομήσω ζωὴν αἰώνιον·
ἱπποδρομίας δὲ τελουμένης ἐν Καισαρείᾳ· καὶ τοῦ λαοῦ
ὅλου συνηγμένου. [illegible] εἰς τὸ μέσον· εὑρέθην
τοῖς ἐμὲ μὴ ζητοῦσι· καὶ ἰδοὺ πιστεύω Χριστῷ· καὶ ἀθετῶ τὰ
ἄψυχα εἴδωλα. ὡς καὶ ἀπὸ νεότητος· καὶ τοῦτο εἰπὼν· καὶ
τὸν ἄρχοντα κινήσας εἰς θυμόν. ἀπετμήθη τὴν κεφαλήν·

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Μαλαχίου·

Μαλαχίας ὁ προφήτης μετὰ τὴν ἐπιστροφὴν τῆς αἰχμαλω
σίας τοῦ λαοῦ τῶν ἰουδαίων. ἐγεννήθη ἐν τῇ ἰουδαίᾳ χώρᾳ·
ἦν δὲ ἐκ τῆς φυλῆς τοῦ λευΐ· νέος δὲ ὑπάρχων τὴν ἡλικίαν.
ἐκτήσατο πολιτείαν θεάρεστον καὶ βίον ἐνάρετον· καὶ δι᾽
αὐτοῦ τὸ ἐκαλεῖτο παρὰ τῶν ἰουδαίων ἄγγελος· ἦν γὰρ
τὸ πρόσωπον εὐπρεπὴς· ἀλλὰ καὶ ὅσα αὐτὸς προεφή
τευε καὶ ἔλεγεν. εὐθέως ὁ ἄγγελος ἐπεβεβαίου καὶ ἐποί
ει ἀληθῆ· ἐλάλει γὰρ μετ᾽ αὐτοῦ ὁ ἄγγελος· καὶ τῆς φωνῆς
τοῦ ἀγγέλου. πολλοὶ ἤκουον ὅτε συνετύγχανε τῷ προφή
τῃ· ἀλλὰ μόνοι οἱ ἄξιοι ἤκουον· οἱ δὲ ἁμαρτωλοὶ οὔτε ἐθεώ
ρουν αὐτόν. οὔτε τῆς φωνῆς αὐτοῦ ἤκουον· τότε δὲ προ
εφήτευεν ὁ προφήτης. ἐν ταῖς ἡμέραις τῆς ἀναρχί
ας· ὡς γέγραπται ἐν τῇ βίβλῳ τῶν κριτῶν· πολλὰ δὲ
προφητεύσας. ἀπέθανε· καὶ ἐτάφη μετὰ τῶν πατέρων
αὐτοῦ ἐν τῷ ἀγρῷ· ἦν δὲ ὡς εἴπομεν εὐπρεπής· στρογ
γύλον ἔχων τὸ πρόσωπον. πλατεῖαν τὴν κεφαλήν·

3 Ian. Malachia Profeta

μηνὶ τῷ αὐτῷ δ. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυ-
ρος Θεαγένους ἐπισκόπου Π.

Θεαγένης ὁ ἱερομάρτυς ἦν ἐπίσκοπος τοῦ Παρίου· καὶ κρα-
τηθεὶς παρὰ τοῦ τῆς χώρας ἄρχοντος, ἠναγκάζετο στρατεύ-
εσθαι· ὁ δὲ χριστιανὸν ἑαυτὸν ἔλεγεν εἶναι καὶ δοῦλον Χριστοῦ καὶ
στρατιώτην· ὁ δὲ ἐδέθη εἰς τέσσαρας πάλους ἐκ τῶν χει-
ρῶν καὶ τῶν ποδῶν. καὶ ἐτύπτετο ὑπὸ ὀκτὼ δημίων μετὰ
ξύλων τραχέων· τοῦ δὲ λαμβάνοντος ὄπισθεν παρερχομέ-
νου καὶ ὑβρίζοντος αὐτόν. προεφήτευσεν ὁ ἅγιος περὶ
αὐτοῦ· ὅτι ταχέως μέλλει καταλαμβάνειν αὐτὸν ἀπώ-
λεια· ὃ καὶ ἐγένετο· ἐν δὲ τῇ νυκτὶ· φανεὶς τῷ ἁγίῳ ὁ Κύριος.
προσέταξεν αὐτῷ μὴ λαμβάνειν μηδὲ φαγεῖν βρώματα ἀ-
πὸ χειρὸς τῶν ἑλλήνων· καὶ ἦν ψάλλων μετὰ ἀγγέλων ἐν τῇ
φυλακῇ· εἶτα ἐκβληθεὶς τῆς φυλακῆς, ἐρρίφη ἐν τῇ θαλάσ-
σῃ καὶ ἐτελειώθη· οἱ δὲ ῥίψαντες αὐτὸν μετανοήσαντες.
ἐλθόντες ἐν τῇ πόλει ἐβαπτίσθησαν· καὶ μετ᾽ αὐτῶν ὄχλος
πολύς· καὶ μετὰ τρεῖς ἡμέρας ἐξερρίφη ἔξω τῆς θαλάσσης
τὸ λείψανον αὐτοῦ· κλαίοντες αὐτὸ οἱ μαθηταὶ αὐτοῦ ἔθαψαν·

4 Jan Seageres Epi Paros Mart.

Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοπέμπτου καὶ Θεωνᾶ μάρτυρος

Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ κινηθέντος
δὲ διωγμοῦ κατὰ τῶν χριστιανῶν, πρῶτος ἐπικειμένου
τοῦ διωγμοῦ τὸν Χ(ριστὸ)ν ὡμολόγησε· καὶ τὸν τῆς ἀθλήσεως
ἐδέξατο στέφανον· κρατηθεὶς γάρ, ἐμβληθεὶς φούρ-
νον ἐκπυρωθέντα· καὶ ὑγιὴς ἐξελθών· τὸν ἕνα ὀφθαλ-
μὸν ἐξορύττεται· ὁ δὲ Θεωνᾶς μάγος ὤν· ἐπιδοὺς αὐτῷ δη-
λητήριον φάρμακον τῇ προστάξει τοῦ βασιλέως, ἵνα
ἀποθάνῃ· καὶ ὡς εἶδεν αὐτὸν μὴ ἀδικηθέντα, ἐπί-
στευσε τῷ Χ(ριστ)ῷ· εἶτα ὀργισθεὶς ὁ βασιλεύς, καὶ ἀποκεφαλί-
σας τὸν ἅγιον Θεόπεμπτον· τὸν δὲ Θεωνᾶν ἐμβαλὼν εἰς
ὄρυγμα βόθρου· καὶ προσέταξε τοῖς δημίοις ἐπιθεῖ-
ναι ἐπάνω χῶμα καὶ καταπατεῖν· καὶ τούτου γενο-
μένου· ἀπεπνίγη καὶ αὐτὸς ἐν τῷ ῥηθέντι βόθρῳ.
Καὶ παρέδωκε τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Θ(ε)ῷ·
διὸ ἀμφότεροι οἱ ἅγιοι μετὰ πολλῆς προθυμίας, τὸ ἴδιον
αἷμα ἐξέχεαν· καὶ τὸν κόσμον ἠρνήσαντο καὶ τὰ ἐν κόσμῳ:

206

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων Ζωσίμου μοναχοῦ καὶ Ἀθανασίου κομενταρησίου, μαρτυρησάντων ἐν Κιλικίᾳ.

Οὗτος Ζώσιμος ὑπῆρχεν ἀπὸ Κιλικίας, τὴν ἔρημον
μετὰ τῶν θηρίων οἰκῶν· κρατηθεὶς δὲ παρὰ Δομετια-
νοῦ τοῦ ἄρχοντος καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χ(ριστὸ)ν
καὶ θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθείς, μετὰ σιδήρων
πεπυρωμένων τὰ ὦτα κατεκάη· εἶτα εἰς λέβητα
κοχλάζοντα ἐνεβλήθη· καὶ μηδὲν ἀδικηθείς, ἐκρε-
μάσθη κατὰ κεφαλῆς καὶ ἐξέετο· τιμωρουμένου δὲ
τοῦ ἁγίου, ἦλθε λέων ἀπὸ τῆς ἐρήμου εἰς τὸ θέατρον·
καὶ ἐλάλησεν ἀνθρωπίνῃ φωνῇ· ὁμολογήσας θ(εὸ)ν
τὸν Χ(ριστὸ)ν. καὶ ἔπεισε γενέσθαι τὸν κομενταρήσιον Ἀθανά-
σιον Χριστιανόν· τότε ἀπελύθησαν παρὰ τοῦ ἄρχον-
τος, τοῦ διατρίβειν ὅπου βούλονται· ἀπῆλθον δὲ
ἐν τῷ ὄρει· καὶ ἐβάπτισεν ὁ ἅγιος Ζώσιμος τὸν Ἀθα-
νάσιον· καὶ μικρὸν διατρίψαντες ἐν τῷ ὄρει· εἶτα
ὑπεισελθόντες εἰς πέτραν καθεῖαν καὶ προσευ-
χόμενοι, παρέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κ(υρί)ῳ.

4 Jan.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τῆς ὁσίας Συγκλητικῆς·

Ἡ ἁγία Συγκλητικὴ ὑπῆρχεν ἀλεξανδρινὴ καὶ πλουσία· θυγάτηρ γονέων εὐγενῶν καὶ εὐσεβῶν· ὑπάρχουσα δὲ εὔμορφος, ἐπεζητεῖτο πρὸς γάμον παρὰ πολλῶν· οὐ μόνον δὲ διὰ τὸ εἶναι εὔμορφον, ἀλλὰ διὰ τὸ εἶναι καὶ πλουσίαν. ἡ δὲ ἁγία ἔχουσα [illegible] πρὸς τὸν θεὸν πόθον πολύν, τοὺς μὲν τῶν πρὸς γάμον [illegible] ἐπιζητούντων οὐκ ἤκουεν· ἀλλὰ ἀφῆκε τὸν κόσμον καὶ τὴν πρόσκαιρον ἡδονὴν καὶ τὴν δόξαν. καὶ ἐπιδέδωκεν ἑαυτὴν πρὸς ἄσκησιν παρθενίας καὶ ἐγκράτειαν· ἰδὼν δὲ ὁ διάβολος τοὺς πολλοὺς ἀγῶνας αὐτῆς, καὶ ὅτι ἐνικήθη ὑπ' αὐτῆς, ἐπήγαγεν αὐτῇ πολλοὺς πειρασμούς, ὡς καὶ τῷ μακαρίῳ Ἰώβ· τοσοῦτον γὰρ ὑπὸ ἀρρωστίας κατεπονήθη χρονίας, ὥστε τὸ ὅλον τὸ σῶμα πληγωθῆναι καὶ διασαπρωθῆναι. καὶ μὴ δύνασθαι αὐτῇ προσεγγίσαι τινὰ διὰ τὴν δυσοσμίαν. καὶ οὕτως πειραζομένη, ὀγδοήκοντα ἐτῶν ὑπάρχουσα, τὴν ἁγίαν αὐτῆς ψυχὴν παρέδωκε τῷ θεῷ·

Syncletica

✠ Μηνὶ τῷ αὐτῷ ε΄. μνήμη τοῦ ἁγίου προφήτου Μιχαίου·

Μιχαίας ὁ προφήτης, ἦν μὲν ἐκ τῆς χώρας τῶν Ἰουδαίων ἐκ τῆς φυλῆς Ἐφραΐμ· ἤλεγχε μὲν δὲ τὸν βασιλέα Ἀχαάβ, διὰ τὰς ἀδικίας καὶ τὰς παρανόμους αὐτοῦ πράξεις. ἐκίνει αὐτὸν εἰς ὀργὴν καὶ θυμόν· ὁ μὲν οὖν βασιλεὺς διὰ τὴν ἀρετὴν τοῦ προφήτου, οὐκ ἐφόνευεν αὐτόν· ἀλλὰ συνετήρει φοβούμενος τὸ κρίμα· καὶ ἐσεβεῖτο αὐτὸν ὡς ἄνθρωπον τοῦ Θεοῦ· ὅτε δὲ αὐτὸς μὲν ἐτελεύτησε· τῆς δὲ βασιλείας ἐκράτησεν Ἰωρὰμ ὁ υἱὸς αὐτοῦ· ἀρξάμενος ποιεῖν παράνομα πολλά, ἠλέγχθη παρὰ τοῦ προφήτου καὶ αὐτός· ὁ δὲ μὴ ὑπομείνας τὸν τοῦ προφήτου ἔλεγχον, εἰς ὀργὴν ἀφόρητον ἐκινήθη· καὶ προσέταξεν ἀνελθόντας τοῖς δημίοις, ἆραι αὐτὸν καὶ ῥῖψαι κατὰ τοῦ κρημνοῦ, τοῦ τουγενομένου· τὸ τέλος τῆς παρούσης ζωῆς ὁ θαυμαστὸς προφήτης ἐδέξατο, παραδοὺς τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ· τὸ δὲ λείψανον αὐτοῦ περιστείλαντες οἱ συγγενεῖς αὐτοῦ· ἔθαψαν ἐν [illegible] μόνον, σύνεγγυς τοῦ κοινοῦ τάφου·

5 Jan. Michea Profeta

✠ Μηνὶ τῷ αὐτῷ ϛ. ἡ βάπτισις τοῦ κυ ἡμῶν ιυ χυ:·

Βουλόμενος ὁ κς ἡμῶν καὶ θς πληρῶσαι πᾶσαν δικαιο
σύνην· καὶ πάντα τὰ τῶν ἰουδαίων ἔθη· καὶ τοῖς τύ
ποις· ἵνα μή τις ὀνειδίζῃ αὐτὸν λέγων ὅτι ἀντίθεός ἐστι· καὶ τοῦ
γραφέντος παρὰ τοῦ νομοθέτου μωσέως νόμου ἐναν
τία φρονεῖ· ἰδὼν τοὺς ἰουδαίους ἐρχομένους πρὸς ἰω
άννην τὸν βαπτιστὴν καὶ βαπτιζομένους εἰς τὸν ἰορ
δάνην ποταμόν· προσέρχεται καὶ αὐτὸς τῷ ἰωάννη
λέγων· ἐλθὲ βάπτισόν με· οὐχ ὡς δεόμενον καθάρ
σεως· ἀλλ᾽ ὡς καθᾶραι θέλων τοῦ κόσμου τὴν
ἁμαρτίαν· ὁ δὲ ἰωάννης γνωρίσας αὐτὸν ὡς προ
φήτης διὰ τοῦ ἁγίου πνς ὅτι ὑς ἐστι τοῦ θυ· οὐκ ἐτόλ
μα βαπτίσαι αὐτόν· ὅτε δὲ εἶδεν αὐτὸν ἰσχυριζόμε
νον· καὶ προστάσσοντα αὐτῷ· ἐβάπτισε μετὰ φό
βου καὶ τρόμου· καὶ εὐθέως ἀνεῴχθησαν οἱ οὐρα
νοί· καὶ ἦλθε φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα·
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα:·

Μηνὶ τῷ αὐτῷ ζ. ἡ σύναξις τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου καὶ βαπτιστοῦ ἰωάννου·

Οὗτος ὁ ἅγιος ἰωάννης ὁ πρόδρομος καὶ βαπτιστὴς τοῦ χυ. μέγας ἐν μὲν τοῖς προφήταις· ὡς καὶ αὐτὸν τὸν χν εἰπεῖν· ὅτι μείζων ἰωάννου τοῦ βαπτιστοῦ, ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται· μείζων δὲ ἐκλήθη πάντων. διότι οἱ μὲν ἄλλοι προφῆται προεφήτευον μὲν περὶ τοῦ χυ· οὐκ εἶδον δὲ αὐτόν· αὐτὸς δὲ ὁ ἰωάννης καὶ εἶδεν αὐτόν. καὶ προεφήτευσε περὶ αὐτοῦ εἰπὼν πρὸς τοὺς ἰουδαίους· ἴδε ὁ ἀμνὸς τοῦ θυ. ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ὁ μὲν γὰρ ἀμνὸς ὁ σφαζόμενος ὑπὸ τῶν ἰουδαίων. ὀλίγου λαοῦ ἐξήλειφεν ἁμαρτίαν· οὗτος δὲ σφαγεὶς, τοῦ κόσμου ὅλου τὴν ἁμαρτίαν ἐξήλειψε· διὰ τοῦτο τιμῶσα τὸν βαπτιστὴν ἡ ἐκκλησία τοῦ θυ. ἐπιτελεῖ κατὰ καιρὸν ἑορτὴν. καὶ ὀνομάζει αὐτὴν σύναξιν· διότι συνάγεται ὁ λαὸς ἐν αὐτῇ δοξολογῶν τὸν θν καὶ τὸν αὐτοῦ πρόδρομον·

7 *Jan. Congregatio in honorem S. Jo. Bapt.*

Μηνὶ τῷ αὐτῷ η΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοφίλου διακόνου καὶ Ἑλλαδίου λαϊκοῦ.

Οὗτοι οἱ ἅγιοι Θεόφιλος καὶ Ἑλλάδιος ἐγένοντο ἀπὸ τῆς χώρας τῆς Λιβύης. καὶ ὁ μὲν Θεόφιλος διάκονος ἦν· ὁ δὲ Ἑλλάδιος λαϊκός· καὶ τὸν μὲν Χριστὸν ὁμολογοῦντες θεὸν ἀληθινὸν καὶ ποιητὴν τῶν ὅλων· τὰ δὲ εἴδωλα ὑβρίζοντες. καὶ τοὺς τιμῶντας αὐτὰ καὶ προσκυνοῦντας. ἐκρατήθησαν παρὰ τοῦ ἀνθυπάτου καὶ ἐτύφθησαν, καὶ ἐξέσθησαν ἰσχυρῶς· καὶ δεθέντες χεῖρας καὶ πόδας. κατεκάησαν τὰς ψύας ὑπὸ πυρός· καὶ μετὰ ὀστράκων ὀξέων κατεκεντήθησαν· καὶ ἄλλας τιμωρίας πολλὰς ὑπέμειναν. βιαζόμενοι κατὰ μίαν ἑκάστην ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς ἀκαθάρτοις δαίμοσιν· ἀλλὰ μὴ πεισθέντες μέχρι καὶ ὀνόματος καταμύσαι εἰς τὸ χωρισθῆναι τῆς ἀγάπης τοῦ Χριστοῦ· συρόμενοι· δερόμενοι· καταπατούμενοι· μετὰ λίθων συντριβόμενοι πάντα τὰ ὀστᾶ. παρέδωκαν τὰς ψυχάς.

8 ... Theophili diaconi et Helladii laici Mart.

302

✠ Μηνὶ τῷ αὐτῷ θ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυεύκτου.

Ἐπὶ τῆς βασιλείας Δεκίου καὶ Οὐαλεριανοῦ. ὑπῆρχεν
οὗτος ὁ ἅγιος ἀπὸ Μελιτινῆς τῆς Ἀρμενίας· στρατευό-
μενος πρὸ τὸ μὲν τῇ τοιαύτῃ χώρᾳ· ἐγένετο δὲ δι-
ωγμὸς τῶν χριστιανῶν μέγας. καὶ καθ' ἡμέραν ἐσφά-
ζοντο οἱ τὸν Χριστὸν μὴ ἀρνούμενοι· μαθὼν δὲ τοῦτο
ὁ ἅγιος Πολύευκτος. τὸν μὲν Χριστὸν εἰς τὸ φανερὸν ὡμο-
λόγησεν· εἰς δὲ τὸν ναὸν τῶν εἰδώλων εἰσελθών.
πάντα τὰ εἴδωλα συνέτριψε· καὶ τότε κρατηθεὶς
παρὰ τοῦ ἄρχοντος. ἐκολάζετο· ὁ δὲ ἄρχων ἦν πεν-
θερὸς αὐτοῦ· καὶ παρεκάλει αὐτόν, ἀρνήσασθαι τὸν
Χριστὸν ἵνα μὴ ἀποθάνῃ· ὁ δὲ οὐκ ἐπείσθη· ἀλλ' εἶπε πρὸς
τὸν φίλον αὐτοῦ Νέαρχον· ὅτι ἐθεώρουν τὸν Χριστόν μοι,
ἐλθόντα ἐν ὕπνῳ καὶ φορέσαντά με χλαμύδα ὡ-
ραίαν· ἀλλὰ μέμνησό μου φίλε· ἡ δὲ γυνὴ αὐτοῦ πα-
ρεκάλει αὐτόν. ἐμμένειν τῇ πίστει τοῦ Χριστοῦ· διὰ
ταῦτα μὲν τὰ χαριστεῖα. ἐτμήθη τὴν κεφαλήν·

✠ τῆ αὐτῆ ἡμέ(ρα), μνήμη θεοκλίτου ἱερομάρτυρος καὶ ὁμολογητοῦ :·

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἀχιά +

Οὗτος ὁ ἅγιος καὶ ἔνδοξος προφήτης Ἀχιὰ ὑπῆρχεν ἀ-
πὸ Σηλώμ· ἐκ τῆς πόλεως Ἡλεί· ὅπου ἦν ἡ σκηνὴ τῶν
Ἰουδαίων, κατὰ τὸ ἀρχαῖον· οὗτος δὲ ὁ προφήτης εἶπε
περὶ Σολομῶντος τοῦ προφήτου καὶ βασιλέως τοῦ
υἱοῦ Δαδ τοῦ προφήτου καὶ βασιλέως· ὅτι μέλλει
πταῖσαι καὶ προσκροῦσαι τῷ Κ(υρί)ῳ· ὃ καὶ καθὼς εἶπεν,
οὕτως καὶ γέγονε· ἤλεγξε δὲ καὶ τὸν Ἱεροβοάμ, ὅτι μετὰ
δόλου ἐπορεύετο ἐνώπιον Κ(υρίο)υ· εἶδε καὶ ἐν ὀπτασίᾳ
ζεύγη βοῶν· ὅτι κατεπάτει τὸν λαὸν καὶ συνέτρι-
βε· καὶ τῶν ἱερέων κατέτρεχε· καὶ προεφήτευσεν
ὅτι μέλλει ὁ λαὸς τῶν Ἰουδαίων ὑπὸ ἐθνῶν καταπα-
τηθῆναι· καὶ αἰχμαλωτισθῆναι· καὶ ὑπὸ λιμοῦ
διαφθαρῆναι· καὶ οἱ ἱερεῖς ὑπὸ τοῦ φόνου φυ-
γεῖν. καὶ πολλὰ τιμωρηθῆναι· ταῦτα δὲ προ-
φητεύσας· καὶ ἄλλα πλεῖστα, ἀπέθανε· καὶ ἐ-
τάφη σύνεγγυς τῆς δρυὸς, ἐν τῇ Ἀρμὲν Σηλώμ :·

9 Jan. Achiæ Prophetæ

✠ Μηνὶ τῷ αὐτῷ ι'. μνήμη τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης:·

Τοῦ μεγάλου Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς
Καππαδοκίας. ἦν οὗτος ὁ ἅγιος Γρηγόριος ἀδελφὸς
γνήσιος· ὑπῆρχε δὲ σοφὸς καὶ ἐνάρετος· ἐξ οὗ καὶ ἀνα-
δειχθεὶς Νύσσης ἐπίσκοπος· κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον·
ἐγένοντο πολλοὶ αἱρετικοί. καὶ ἐπολέμουν τοὺς ὀρ-
θοδόξους· ἀλλ' οὗτος ὁ ἅγιος· ἀντιδιαλεγόμενος
αὐτοῖς ἀπὸ τῶν ἁγίων γραφῶν· ἀντιγράφων· πάν-
τας ἐνίκησε· καὶ τὴν αἵρεσιν ἠφάνισεν· ἐρεθεὶς δὲ
καὶ εἰς τὴν ἐν Κωνσταντινουπόλει δευτέραν σύνοδον·
οὕτως διὰ λόγου ἠνδραγάθησεν. ὡς ἐμφράξαι τῶν
αἱρετικῶν τὰ στόματα· τοὺς δὲ ὀρθοδόξους χαρᾶς πλη-
ρῶσαι· ἐξελθὼν δὲ εἰς τὴν ἐκκλησίαν αὐτοῦ καὶ τὸ
ποίμνιον· καὶ καλῶς ἐκθρέψας αὐτὸ καὶ ποιμάνας·
καὶ πολλὰς βίβλους θεοπνεύστους καὶ ψυχωφελεῖς
συγγραψάμενος· ἐν τιμίᾳ πολιᾷ καὶ καλῷ γήρᾳ.
πρὸς Χριστὸν ἐξεδήμησε χαίρων καὶ ἀγαλλόμενος:·

✠ Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Δομετιανοῦ ἐπισκόπου Μελιτινῆς ✝

Ἐπὶ τῆς βασιλείας ἰουστίνου τοῦ μικροῦ. γενόμενος οὗτος ὁ ἅγιος
υἱὸς γονέων χριστιανῶν εὐλαβῶν καὶ πλουσίων· ἐδιδά-
χθη δὲ παρὰ τῶν γονέων αὐτοῦ πᾶσαν παίδευσιν τῶν τε
ἔξω γραμμάτων. καὶ τῆς θείας γραφῆς· ἔλαβε δὲ καὶ γυ-
ναῖκα εὐγενῆ καὶ πιστήν· ἀλλὰ ταχέως ἐκείνης ἀποθα-
νούσης· αὐτὸς πρὸς ἀρετὴν καὶ τὸν τοῦ θεοῦ φόβον ἐξέδωκεν
ἑαυτόν· καὶ οὕτως ἀνεδείχθη ἐνάρετος· ὡς καὶ ἐπίσκοπος γενέ-
σθαι Μελιτινῆς· τοσοῦτον δὲ ἐλάμπρυνεν αὐτὸν περιβόητον γε-
νέσθαι· ὡς καὶ τὸν βασιλέα τῶν Περσῶν πρὸς ἀγάπην ἐφελ-
κύσαι· καὶ ἀγαγεῖν εἰς τὴν δούλωσιν τοῦ Ῥωμαίων βασιλέ-
ως Μαυρικίου· ἔγραψε γὰρ ὁ Πέρσης πρὸς τὸν Ῥωμαῖον·
ὅτι ἐὰν ἀποστείλῃς Δομετιανὸν καὶ πληροφορήσῃ με,
γίνομαι σοὶ οὐ μόνον φίλος· ἀλλὰ καὶ δοῦλος· καὶ τούτου
γενομένου, ἐχάρη πᾶσα ἡ πόλις καὶ ὅλος ὁ κόσμος· εἰ-
σελθὼν δὲ ἐν τῇ πόλει ὁ ἅγιος ἐτελεύτησε· τὸ δὲ λείψανον
αὐτοῦ ἀνεκομίσθη εἰς Μελιτινήν. πολλὰς ἰάσεις τελῶν·:

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας Μαρκιανοῦ·

Οἱ πρόγονοι τοῦ μακαρίου Μαρκιανοῦ, ἀπὸ τῆς μεγάλης ῥώμης, παρεγένοντο εἰς Κωνσταντινούπολιν· οὗτος δὲ ἐγένετο ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου Μαρκιανοῦ, καὶ τῆς εὐσεβεστάτης Πουλχερίας· πλούσιος δὲ καὶ εὐγενὴς ὤν, πολλοὺς ναοὺς καὶ μεγάλους ἔκτισεν· ἔχων καὶ τὸν βασιλέα συνεργόν· καὶ γὰρ ἔκτισε τῆς ἁγίας Εἰρήνης τὴν ἐκκλησίαν· καὶ τῆς ἁγίας Ἀναστασίας, τὸν ἐν τοῖς Δομνίνου ἐμβόλοις· τὸν δὲ τοιοῦτον ναὸν μετ' ὀλίγον διὰ προσευχῆς καὶ ἀπὸ ἐμπρησμοῦ· τῶν μὲν τῶν γειτόνων πάντων καέντων· τοσοῦτον δὲ ἦν ἐλεήμων, ὡς ἐν μιᾷ λιτανείᾳ πτωχῷ ζητήσαντί τι, μὴ δὲ ἔχων δοῦναι, ἐκκαλυψάμενος δέδωκε τὸ ἱμάτιον ὃ περιεφόρει· αὐτὸς δὲ καὶ ἐλείφθη γυμνός, μετὰ μόνης τῆς ἱερατικῆς στολῆς· καὶ ἐφάνη τῷ κλήρῳ χρυσῆν στολὴν φορῶν· ποιήσας δὲ καὶ θαύματα πολλὰ καὶ νεκρὸν ἀναστήσας, ἐν εἰρήνῃ ἐκοιμήθη·

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Δομνίκας.

Ἡ ἁγία Δομνίκα ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μεγάλου· διήρκεσε δὲ ἡ ζωὴ αὐτῆς ἕως τῆς βασιλείας Λέοντος καὶ Ζήνωνος· ἐγένετο δὲ ἐκ τῆς πόλεως Καρθαγένης· ἀλλὰ καταλιποῦσα τὴν ἰδίαν πόλιν καὶ παραγενομένη εἰς Κωνσταντινούπολιν, ἐβαπτίσθη καὶ λυθεῖσα ὑπεδέχθη παρὰ Νεκταρίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως· ὃς οὐ μόνον εἰσήγαγεν αὐτὴν εἰς μοναστήριον τὸ περὶ τὴν ἁγίαν ἐκκλησίαν εἰς τιμὴν τοῦ ἁγίου προφήτου Ζαχαρίου, ἀλλὰ καὶ διάκονον ἐχειροτόνησεν· καὶ μετὰ τοῦτο τοσαῦτα ἠγωνίσατο εἰς ἀρετήν, ὡς καὶ θαυματουργίας χαρίσματα λαβεῖν παρὰ Θεοῦ· ἀλλὰ καὶ προορατικῶν ἀποκαλύψεων ἠξιώθη· καὶ περὶ βασιλέων προεφήτευσε· καὶ περὶ πατριαρχῶν καὶ περὶ ἄλλων πολλῶν· καὶ οὕτως ἀγωνισαμένη· καὶ τιμηθεῖσα παρὰ βασιλέων διὰ τὴν πολλὴν αὐτῆς ἀρετήν· ὁμοίως καὶ παρὰ πατριαρχῶν, ἐν εἰρήνῃ ἐκοιμήθη.

Μηνὶ τῷ αὐτῷ ι̅α̅. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πέτρου.

Ὁ ἅγιος μάρτυς Πέτρος, ἐγένετο ἀπὸ χωρίου Ἀνέας· πλη-
σίον Ἐλευθεροπόλεως· ἀνδρεῖος δὲ ὑπάρχων
τῷ σώματι, ἀνδρειότερος ἐγένετο τῇ εἰς Χ(ριστό)ν πίστει·
νέος δὲ ὢν τὴν ἡλικίαν, τὰ τῶν γερόντων εἶχε
κατὰ τὴν φρόνησιν· διδάσκων πάντας ἀποστῆ-
ναι τῶν εἰδώλων, καὶ προσελθεῖν τῷ Χ(ριστ)ῷ μόνῳ
ὑπάρχοντι Θ(ε)ῷ ἀληθινῷ, καὶ σωτῆρι τῶν ἀνθρώ-
πων· ταῦτα ἀκούσας περὶ αὐτοῦ ὁ τῆς Ἐλευθερο-
πόλεως ἄρχων, ἀπέστειλε καὶ ἐκράτησεν αὐτόν.
Καὶ ἠνάγκασεν ἀρνήσασθαι τὸν Χ(ριστό)ν· ὡς δὲ οὐκ ἐ-
πείσθη, προσέταξε γενέσθαι κάμινον μεγάλην πυ-
ρός, καὶ ἐκεῖ ἐμβληθῆναι αὐτόν· καὶ τῆς καμίνου
ἀναφθείσης, ἐμβληθεὶς ἐν αὐτῇ ὁ ἅγιος χαίρων,
καὶ ἐν αὐτῇ ἐπὶ πολλαῖς ταῖς ὥραις εὐχαριστῶν καὶ
προσευχόμενος τῷ Θ(ε)ῷ ὑπὲρ τῆς οἰκουμενικῆς κα-
ταστάσεως καὶ τῶν ἁγίων ἐκκλησιῶν, ἐτελειώθη.

11 Jan. Petri Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ κοινοβιάρχου∴

Θεοδόσιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ὁ ἐπιλεγόμενος κοινο-
βιάρχης· ἦν ἀπὸ τῆς χώρας Καππαδοκίας· γο-
νέων εὐσεβῶν· ἐγένετο δὲ μοναχός· καὶ πρῶτον μὲν
ἀπελθὼν εἰς Ἀντιόχειαν· πρὸς τὸν ἅγιον Συμεὼν
τὸν στυλίτην. καὶ εὐλογήθη παρ' αὐτοῦ· εἶτα εἰς
τὰ Ἱεροσόλυμα· ἐκεῖθεν δέ· κατῴκησεν εἰς τὴν
ἔρημον ἐπὶ τριάκοντα χρόνοις ἄρτον μὴ φαγών.
εἰ μὴ μόνας ἰσχάδας καὶ βοτάνας· ὅθεν πλεῖστα
θαύματα ἐποίησε· καὶ μοναστήρια πολλὰ συνε-
στήσατο· καὶ δαίμονας διὰ προσευχῆς ἐδίωξε·
λιμοῦ δέ ποτε γενομένου· καὶ τῆς ἀποθήκης τοῦ
μοναστηρίου σῖτον μὴ ἐχούσης· ἕνα κόκκον εὑρὼν
καὶ εὐλογήσας· ἐξ ἐκείνου τὴν ἀποθήκην σίτου
ἐγέμισεν· ἄλλα δὲ τὰ πολλὰ θαύματα. καὶ τοῖς κασ-
λωῖσι μὲν ἐγνωρίσθη· καὶ ἐν ὅλῳ τῷ κόσμῳ διὰ τὴν ἀρε-
τὴν περιβόητος γέγονε· καὶ οὕτως ἐν εἰρήνῃ [illegible] ἐτελειώθη∴

Μηνὶ τῷ αὐτῷ ιβ'. ἄθλησις τῆς ἁγίας μάρτυρος Τατιανῆς.

Ἡ μάρτυς τατιανὴ ὑπῆρχεν ἀπὸ τῆς πρεσβυτέρας ῥώμης· ἐπὶ τῆς βασιλείας ἀλεξάνδρου· πατρὸς πλουσίου καὶ ἐνδόξου θυγάτηρ· ἐκ τρίτου ἄρξαντος ὑπάτου· ἦν δὲ τὸν ἀριθμὸν διάκονος· καὶ ὡσεὶ διάκονος οὖσα· ἐδίδασκε τὸν λαὸν τὰ περὶ τοῦ χ(ριστο)ῦ· καὶ πολλοὺς ἔπειθεν ἀποστρέφεσθαι τὰ εἴδωλα. διεβλήθη τῷ βασιλεῖ· ὁ δὲ ἀποστείλας ἐκράτησεν αὐτὴν καὶ ἤγαγεν ἐνώπιον αὐτοῦ· καὶ κατηνάγκασεν αὐτήν· εἰσελθεῖν μετ' αὐτοῦ εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ προσκυνῆσαι· ἡ δὲ ἁγία εἰσελθοῦσα. διὰ προσευχῆς συνέτριψε τὰ εἴδωλα. καὶ εἰς γῆν ἔρριψεν· εἶτα τύπτεται κατὰ τοῦ προσώπου· καὶ τοὺς ὀφθαλμοὺς ἐξορύσσεται· καὶ κρεμασθεῖσα ξέεται· καὶ ξυρᾶται τὴν κεφαλήν· εἶτα πυρὶ παρεδόθη· καὶ ὑγιὴς ἐξελθοῦσα. θηριομαχεῖ· καὶ τῶν θηρίων λυτρωθεῖσα. τῇ προστάξει τοῦ βασιλέως τὴν κεφαλὴν ἀπετμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Μεορτίου.

Οὗτος στρατιώτης ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· ἀνδραγαθῶν κατὰ τῶν βαρβάρων ἐν τοῖς πολέμοις· καὶ φανερούμενος καὶ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν συστρατιωτῶν· διαγνωσθεὶς δὲ ὅτι χριστιανός ἐστι· καὶ κρατηθεὶς καὶ δεθεὶς, ἤχθη ἔμπροσθεν τοῦ βασιλέως· καὶ πρῶτον μὲν ἐκδύεται τὴν στρατιωτικὴν πανοπλίαν, καὶ τὴν ζώνην τοῦ ἀξιώματος· εἶτα ἐδέθη ἐκ τεσσάρων, καὶ ἐτύπτετο ἀνηλεῶς· ἐπὶ πολλαῖς δὲ ταῖς ὥραις τυπτομένου αὐτοῦ, οὐδὲ μία ἀνεπέμπετο αὐτοῦ φωνή· ὁ δὲ βασιλεὺς ὁρῶν αὐτὸν πῶς ὑπομένει τὰς μάστιγας· καὶ τὰς τοσαύτας πληγάς· ἐθαύμαζε· καὶ πρὸς τοὺς παρεστῶτας στρατιώτας ἔλεγε· ποταπὸς στρατιώτης ἦν καὶ πῶς ἀποθνήσκει· ὡς δὲ οὐχ εὑρίσκετο τόπος ὑγιὴς εἰς τὸ σῶμα αὐτοῦ, ἀφείθη· καὶ ἀπερρίφη ἐν τῇ φυλακῇ· καὶ ψάλλων καὶ προσευχόμενος, μετὰ ὀκτὼ ἡμέρας ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου Ἀθανασίου τοῦ ὁμολογητοῦ :·

Μηνὶ τῷ αὐτῷ ιγ΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου:·

Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ Λικιννίου τοῦ βασιλέως. Καὶ ὁ μὲν ἅγιος Ἑρμύλος, ἦν διάκονος τῆς ἐκκλησίας Χριστοῦ. Διατρίβων δὲ ὁ Λικίννιος ἐν τῷ ποταμῷ Δούναβι. καὶ ἀκούσας περὶ τοῦ ἁγίου Ἑρμύλου. ἐπίασεν αὐτόν. Καὶ μετὰ σιδηρῶν ῥαβδίων ἐτιμωρήσατο αὐτόν· εἶτα ἀπέκλεισεν εἰς φυλακήν· παραγγείλας Στρατονίκῳ τῷ στρατιώτῃ φυλάττειν αὐτόν· ἐλθόντος δὲ ἀγγέλου. Καὶ παραμυθουμένου τὸν ἅγιον Ἑρμύλον. ἐθεώρει ἐκ τῆς θυρίδος τῆς φυλακῆς ὁ Στρατόνικος. καὶ ἐπίστευσε καὶ αὐτὸς τῷ Χριστῷ. καὶ ἐγένετο φίλος τοῦ Ἑρμύλου· ἐκβληθεὶς δὲ τῆς φυλακῆς ὁ Ἑρμύλος, ἠναγκάζετο προσκυνῆσαι τοῖς εἰδώλοις· καὶ μὴ πεισθείς, τύπτεται μετὰ ῥαβδίων· εἶτα μετὰ ὀνύχων ἀνετοῦ διέσχισαν τὴν κοιλίαν αὐτοῦ καὶ τὴν καρδίαν· ὁρῶν δὲ ὁ Στρατόνικος ἔκλαυσε· καὶ γνωσθεὶς ἐτιμωρήθη· καὶ ἀμφότεροι ῥιφέντες ἐν τῷ ποταμῷ Δούναβι ἐτελειώθησαν:·

13 Ian. Armulle, et Stratonici Mart.

Μηνὶ τῷ αὐτῷ ιδ. ἄθλησις τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν τῷ Σινᾷ ὄρει τελειωθέντων.

Ἀπὸ διαφόρων τόπων καὶ χωρίων οἱ ἅγιοι οὗτοι ὑπάρχοντες· ἀφῆκαν τὸν κόσμον· καὶ συγγενεῖς καὶ πλοῦτον. Καὶ ἀπῆλθον ἐν τῷ ὄρει τῷ Σινᾷ. καὶ ἐγένοντο μοναχοὶ δουλεύοντες μόνῳ τῷ Θεῷ. καὶ τρεφόμενοι ἀπὸ λαχάνων ἀγρίων· μετὰ τούτων δὲ τῶν ἁγίων ἦν καὶ ὁ ἅγιος Νεῖλος· ὁ γενόμενος ἔπαρχος εἰς Κωνσταντινούπολιν· ἀνὴρ σοφὸς καὶ εὐλαβής· ἀλλὰ καὶ αὐτὸς διὰ τὸν Χριστὸν ἀφῆκε καὶ τὴν δόξαν καὶ τὸν πλοῦτον. καὶ ἐγένετο εἷς τῶν πτωχῶν μοναχῶν· ἀλλ' ὁ διάβολος φθονήσας· διήγειρε τὸ ἄγριον ἔθνος τῶν Βλεμμύων. κατὰ τῶν ἁγίων πατέρων· οὗτοι δὲ εἰσὶν οἱ ἀπὸ Ἀραβίας ἕως Αἰγύπτου κατοικοῦντες τὴν θάλασσαν ἐρυθράν· Καὶ ἐλπίζοντες εὑρεῖν πλοῦτον. ἦλθον κουρσεῦσαι τοὺς μοναχούς· ὡς δὲ οὐδὲν εὗρον· εἰ μὴ τὰ ἱμάτια μόνα· καὶ τοὺς ἁγίους τρύχινα φοροῦντας ἐμάνησαν· καὶ κατέσφαξαν αὐτούς. μηδὲν ἀδικοῦντας· καὶ οὕτως ἐτελειώθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων πατέρων τῶν ἐν
τῷ αὐτῷ ὄρει σφαγέντων ὑπὸ τῶν Βλεμμύων
ἐπὶ Διοκλητιανοῦ βασιλέως

ιη

Οὗτοι ὑπῆρχον ἐν τοῖς χρόνοις Διοκλητιανοῦ βασιλέως
καὶ Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας. ἡσύχαζον
δὲ καὶ αὐτοὶ ἐν τῷ Σιναίῳ ὄρει· ἐξελθόντων δὲ οἱ κατοικούν-
των τὴν ἔρημον Σαρακηνοί· ἀποθανόντος τοῦ φυλάρ-
χου αὐτῶν, πολλοὺς ἐφόνευσαν τῶν μοναχῶν· τῶν
δὲ λοιπῶν φυγόντων εἰς τὸ ὀχύρωμα, ἐφάνη τοῖς Σα-
ρακηνοῖς διὰ τῆς νυκτὸς φλὸξ πυρός, καταικαίου-
σα τὸ ὄρος· ἡ δὲ φλὸξ ἀνήρχετο ἕως τοῦ οὐρανοῦ·
καὶ ἰδόντες οἱ Σαρακηνοὶ ἐφοβήθησαν. καὶ ῥίψαντες
τὰ ὅπλα αὐτῶν ἔφυγον· οἱ δὲ προφθάσαντες ἦσαν
τριάκοντα ὀκτώ· ἔχοντες πληγὰς διαφόρους ἐν
τοῖς σώμασιν αὐτῶν· ἐξ αὐτῶν δὲ εὑρέθησαν δύο ζῶν-
τες, Σάβας καὶ Ἡσαΐας· οἱ δὲ φονευθέντες, οἱ μὲν
τὰς κεφαλὰς ἀπετμήθησαν τελείως· τῶν δὲ ἐκ
τοῦ ἐμπρὸς μέρους ἐκρέματο τὸ δέρμα· ἄλλοι μέσον ἐκό-
πησαν· οὓς ἔθαψαν οἱ δύο μοναχοί, οἱ καὶ τὰ περὶ αὐτῶν εἰπόντες.

14 Jan. Sanctorum Patrum in Monte Sina Jugulatorum sub Diocletiano a Blemmyis

317

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν λγ' πρώτων τῶν ἐν τῇ Ῥαϊθῷ σφαγέντων ὑπὸ Βλεμμύων τῶν κατοικούντων ὅπου εἰσὶν αἱ ιβ' πηγαὶ καὶ τὰ ο' δένδρα τῶν φοινίκων·

Βλεμμύων τριακοσίων ἐπιβάντων ξύλοις μεγάλοις· καὶ
περασάντων τὸ πέλαγος τῆς Αἰθιοπίας· καὶ ἐλθόν-
των εἰς τὸν τόπον καὶ εὑρόντων πλοῖον· καὶ ἐμβάντων
εἰς αὐτὸ καὶ διαπερασάντων εἰς τὴν χώραν τῶν
Φαρανιτῶν. ἐξῆλθον οἱ Φαρανῖται εἰς συνάντησιν
αὐτῶν· καὶ ἐνικήθησαν ὑπὸ τῶν Βλεμμύων· καὶ ἐσφά-
γησαν ἄνδρες ἑκατὸν τεσσαράκοντα ἑπτά· οἱ δὲ Βλέ-
μυες ἐπῆραν τὰς γυναῖκας καὶ τὰ παιδία τῶν
Φαρανιτῶν. ἀπῆλθον εἰς τὸ κάστρον ὅπου εἶχον τὴν
ἐκκλησίαν οἱ ἅγιοι πατέρες· καὶ ἠσφάλισαν τὴν θύραν
οἱ ἅγιοι· καὶ προσέφυγον εἰς τὴν ἐκκλησίαν. ἐκδεχόμε-
νοι τὸν θάνατον· καὶ ἐλθόντες οἱ βάρβαροι· καὶ χρήματα
ζητοῦντες καὶ μὴ εὑρόντες. πάντας ἐφόνευσαν· καὶ λαβόντες
τὴν αἰχμαλωσίαν. ἀπῆλθον πρὸς τὸ περᾶσαι· καὶ μὴ εὑρόντες
τὸ πλοῖον· τὸ γὰρ πλοῖον οἱ ἀγγαρευθέντες ἐκαύθησαν καὶ ἔφυγον·
ἐμάνησαν. καὶ ἔσφαξαν τὴν αἰχμαλωσίαν· ἐσφάγησαν δὲ καὶ αὐτοί·

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πρς ἡμῶν ΘΕΟΔΟΥΛΟΥ

Οὗτος ὑπῆρχεν υἱὸς νείλου τοῦ σοφοῦ· τοῦ γενομένου ἐπ
άρχου κωνσταντινουπόλεως· καταλιπόντος δὲ τὴν
δόξαν τοῦ κόσμου· καὶ ἀπελθόντος ἐν τῷ ὄρει σινᾶ, καὶ
μονάσαντος μετὰ τοῦ υἱοῦ· τῶν δύο δὲ ὑπαρχόντων ἐ
κεῖ· καὶ τὴν ἀσκητικὴν πολιτείαν διανυόντων, ἐξαί
φνης ἐπελθόντων τῶν βαρβάρων· καὶ ἀρξαμένων
κατασφάζειν τοὺς ἁγίους πρας. ὁ μὲν νεῖλος ἠδυνή
θη φυγεῖν· ὁ δὲ υἱὸς αὐτοῦ θεόδουλος ἐγένετο αἰχμά
λωτος μετὰ καὶ ἄλλου ἑνὸς μένου. καὶ δεθέντων εὖρον τὸ κ
πλίκασαν δὲ οἱ βάρβαροι· καὶ ἐβούλοντο σφάξαι τοὺς μ
ονούς. καὶ θῦσαι τῷ πρὸ τοῦ ἡλίου ἀνατέλλοντι ἄστρῳ· καὶ ὁ μὲ
εἷς ἔφυγεν· οἱ δὲ βάρβαροι κοιμηθέντες· τοῦ ἡλίου ἀνατεί
λαντος· καὶ τοῦ ἄστρου κρυβέντος, οὐκ ἔσφαξαν τὸν θεόδου
λον· νομιζόμενοι δὲ πωλῆσαι, δύο νομίσμασι χρυσοῖς ἐλάμ
βανον· καὶ γυμνώσαντος εἰς τὸ ξίφος. ἤθελε σφάξαι· τότε ἠ
γόρασεν αὐτὸν ὁ ἐπίσκοπος, καὶ ἀπέλυσεν· καὶ ἐκ γηρῶς καλῶς, ἐκοιμήθη.

14 ian. Teodoli Consan...

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΡΣ ΗΜΩΝ ΣΤΕΦΑΝΟΥ. ΤΟΥ ΚΤΙΣΑΝΤΟΣ ΤΗΝ ΜΟΝΗΝ ΤΟΥ ΧΗΝΟΛΑΚΚΟΥ:

Οὗτος ὑπῆρχεν ἀπὸ ἀνατολῆς· εὐγενὴς καὶ πλούσιος·
ἀλλὰ πάντα καταλιπὼν, γέγονε μοναχός· καὶ ἀπελ-
θὼν εἰς τὴν ἔρημον τοῦ Ἰορδάνου· καὶ διήρχετο τῶν μεγά-
λων πρὸς τὰ μοναστήρια. μανθάνων πᾶσαν ἀρετήν·
ἐπὶ δὲ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου. κατέλα-
βε τὴν Κωνσταντινούπολιν· καὶ ὑπεδέξατο αὐτὸν Γερ-
μανὸς ὁ ἁγιώτατος πατριάρχης· καὶ ἐδωρήσατο αὐτῷ
τὸν τόπον· ἔνθα νῦν ἡ τοῦ Χηνολάκκου μονὴ ὑπάρ-
χει. καὶ ἔκτισε μοναστήριον· καὶ συνήγαγεν ἄνδρας εὐ-
λαβεῖς εἰς θεοῦ δοξολογίαν· καὶ ἐδίδαξεν αὐτοὺς πᾶσαν
ἀρετήν. καὶ ὑπέθηκε πῶς ἀρέσουσι τῷ θεῷ· ἐδίδασκε
δὲ καὶ τοὺς καθεκάστην ἡμέραν ἐρχομένους πρὸς αὐ-
τὸν καὶ ἔλεγεν· ἀδελφοὶ· τοῦ θεοῦ μὴ ἐπιλανθάνεσθε·
τοῦτο γινώσκοντες· ὅτι ὁ κόσμος οὗτος παρέρχεται· καὶ
οὐδέν ἐστι· καὶ ἄλλα πολλὰ διδάξας· καὶ καλῶς ποιμάνας
τὸ ποίμνιον αὐτοῦ. ἐν εἰρήνῃ παρέδωκε τῷ θεῷ τὴν ψυχήν:

Μηνὶ τῷ αὐτῷ ιε'. Ἡ κοίμησις τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Θηβαίου.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Δεκίου· ἐγένετο δὲ ἀπὸ αἰγύ-
πτου πόλεως Θηβῶν· εἶχε δὲ γαμβρόν· καὶ ἐβουλήθη
ὁ γαμβρὸς αὐτοῦ προδώσειν αὐτὸν ὡς χριστιανὸν εἰς τὸν
ἄρχοντα, ἵνα κληρονομήσῃ τὸ μέρος τῆς ὑποστάσε-
ως αὐτοῦ· καὶ προμαθὼν τοῦτο, φυγὼν ἀπῆλθεν εἰς
τὸ ὄρος τῆς ἐρήμου· καὶ κατ' ὀλίγον κατ' ὀλίγον εἰσερ-
χόμενος πρὸς τὰ ἐνδότερα τῆς ἐρήμου, εὗρε σπήλαι-
ον καὶ εἰσῆλθεν ἐν αὐτῷ· καὶ ἐνεδύετο ἐκ τῶν δερμάτων
τῶν φοινίκων συρράπτων αὐτά. καὶ ἐτρέφετο ἐκ τῶν
καρπῶν αὐτῶν· θέλων δὲ ὁ θεὸς φανερῶσαι τὸν ὅσιον αὐ-
τοῦ εἰς ὠφέλειαν, ἀπήγαγεν ἐκεῖ τὸν μέγαν Ἀντώνιον
ὑπονοήσαντα ὅτι καθύστερον αὐτοῦ ἄλλος οὐκ εἰσῆλθεν
εἰς τὴν ἔρημον· ἀλλ' εὑρὼν αὐτόν, ἐθαύμασεν· ἀρξαμέ-
νων δὲ συντυχάνειν, ἦλθε κόραξ κατάξων ἄρτον ὁλό-
κληρον· καὶ ἔδωκεν αὐτοῖς· τραφεὶς δὲ Ἀντώνιος ἵνα φέρῃ
αὐτῷ ἱμάτιον, εὗρεν αὐτὸν τελειωθέντα· καὶ ἐδόξασε τὸν θεόν.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἰωάννου τοῦ καλυβίτου. οὗ ἦν τὸ χρυσοῦν εὐαγγέλι(ον)·

Ἰωάννης ὁ καλυβίτης, ἦν ἐν κωνσταντίνου πόλει· υἱὸς εὐ-
τροπίου τοῦ συγκλητικοῦ, καὶ θεοδώρας. ἐν ἀρχῇ δὲ τῆς
ἡλικίας ᾐτήσατο τοὺς γονεῖς αὐτοῦ λέγων· ὅτι πάντες οἱ
συμμαθηταί μου, ἔχουσι τὰ εὐαγγέλια ἃ ἀναγινώσκουσιν·
ἐγὼ δὲ μὴ ἔχων, ἐντρέπομαι· διὰ τοῦτο ἐποίησαν αὐτῷ οἱ γο-
νεῖς αὐτοῦ εὐαγγέλιον πολύτιμον· ἀπὸ χρυσοῦ· καὶ λί-
θων τιμίων καὶ μαργαριτῶν· ἄξιον νομισμάτων πεν-
τακοσίων· καταλιπὼν δὲ τὴν τῶν μαθημάτων σχολήν.
μετὰ μοναχοῦ τινὸς τὴν τῶν ἀκοιμήτων κατέλαβε μο-
νήν· καὶ ἐν αὐτῇ γίνεται μοναχός· καὶ ἠγωνίσατο
καλῶς· ἀγαπᾶν μὴ ἔχων ὁ διάβολος ἄλλο τι ποιῆσαι αὐτῷ· ἐνέ-
βαλεν εἰς αὐτὸν ἐπιθυμίαν τοῦ ἰδεῖν τοὺς γονεῖς αὐτοῦ· ὅμως οὐχ
ἡττήθη. ἀλλ' ἐνίκησε τὸν διάβολον· μετὰ γὰρ γνώμης τοῦ ἡγου-
μένου, ἦλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ τοὺς μὲν γονεῖς αὐτοῦ ἐθεώρει·
αὐτὸς δὲ καλύβην ποιήσας ἔξω τοῦ πυλῶνος, ἔκειτο ἐκεῖ ὡς πτωχός
ἕως ἐτελειώθη· καὶ τότε ἀνεγνωρίσθη, ἐκ τοῦ χρυσοῦ εὐαγγελίου·

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῆς ἁγίας Χαριτίνης.

Ἡ μάρτυς Χαριτίνη ὑπῆρχε δούλη Κλαυδιανοῦ τινὸς Χριστιανοῦ ὄντος καὶ εὐσεβοῦς· ἐπὶ δὲ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Δομετιανοῦ κόμητος διαβληθεῖσα ὅτι τὸν Χριστὸν σέβεται ἐκρατήθη· καὶ παρέστη ἐνώπιον τοῦ κόμητος καὶ ὁμολογήσασα τὸν Χριστὸν καὶ ὅτι Χριστιανή ἐστι, τύπτεται ἰσχυρῶς· εἶτα ξυρᾶται τὴν κεφαλὴν καὶ ἀνθρακιὰν ζέουσαν καταπάσσεται· καὶ ἐπιχέεται ἐπὶ τὴν κεφαλὴν αὐτῆς ὄξος δριμύτατον· καὶ μετὰ λαμπάδων τὰς πλευρὰς καταφλέγεται· εἶτα δεθεῖσα ἀπερρίφη ἐν τῇ θαλάσσῃ· παραδόξως δὲ διασωθεῖσα καὶ ἐκ τῆς θαλάσσης ἐξελθοῦσα παρέστη τῷ κόμητι· καὶ ἰδὼν αὐτὴν ὁ κόμης ἐξεπλάγη· καὶ προσέταξε γενέσθαι τροχὸν καὶ τεθῆναι τὴν ἁγίαν ἐκεῖ· καὶ ὑπὸ τὸν τροχὸν τεθῆναι πυρὸς ἀνθρακιάς· καὶ τούτου γενομένου ἐτιμωρεῖτο ἡ ἁγία· εἶτα ἐξερριζώθη τοὺς ὀδόντας καὶ ἐκ τῆς πολλῆς ὀδύνης καὶ τοῦ ἀφορήτου πόνου παρέδωκε τὸ πνεῦμα τῷ Θεῷ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ. Η ΠΡΟΣΚΥΝΗΣΙΣ ΤΗΣ ΤΙΜΙΑΣ ΑΛΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ ΗΝ ΕΦΟΡΕΣΕΝ ΥΠΟ ΗΡΩΔΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΔΙΑ ΧΝ. ΚΑΙ ΕΒΛΗΘΗ ΕΝ ΤΗ ΦΥΛΑΚΗ·

Κατ' ἐκεῖνον τὸν καιρὸν ὁ βασιλεὺς Ἡρώδης ἐκράτησεν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου. καὶ μετὰ μαχαίρας ἔσφαξεν αὐτόν· καὶ ἰδὼν ὅτι ἀπεδέξαντο τὸ γενόμενον οἱ Ἰουδαῖοι, ἐκράτησε καὶ τὸν ἅγιον Πέτρον· καὶ δήσας αὐτὸν μετὰ δύο ἁλύσεων, ἐμβαλὼν εἰς φυλακὴν βουλόμενος φονεῦσαι· ἀλλ' ἄγγελος Θεοῦ ἀπελθὼν ἐν τῇ φυλακῇ, ἔλυσεν αὐτὸν ἀπὸ τῶν ἁλύσεων· καὶ ἀνοίξας διὰ τῆς νυκτὸς τὰς θύρας τῆς φυλακῆς, ἀπέλυσεν αὐτόν· καὶ οὕτως ἐξέφυγε τὰς χεῖρας τοῦ Ἡρώδου· τινὲς δὲ τῶν πιστῶν τὰς ἁλύσεις εὑρόντες καὶ τιμῶντες αὐτὰς διὰ τὸν ἅγιον, κατὰ διαδοχὴν διεφύλαξαν· καὶ ὕστερον παρὰ τῶν εὐσεβῶν βασιλέων εἰς Κωνσταντινούπολιν εἰσηνέχθησαν· καὶ κατετέθησαν ἐν τῷ ναῷ τοῦ ἁγίου Πέτρου, τῷ πλησίον ὄντι τῆς ἁγίας Σοφίας· καὶ ἀπὸ τότε ἕως τῆς σήμερον τιμῶνται καὶ προσκυνοῦνται ὑπὸ τῶν χριστιανῶν, εἰς τιμὴν τοῦ ἀποστόλου Πέτρου·

16 Jan. Vincula S. Petri

✠ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ὁσιομάρτυρος Πανσοφίου·

Πανσόφιος ὁ ὁσιομάρτυς ὑπῆρχεν ἀπὸ Ἀλεξανδρείας.
υἱὸς Νείλου τοῦ ἀνθυπάτου· ἐτελεύτησε δὲ αὐτοῦ ὁ
πατὴρ αὐτοῦ. καὶ ἐδίδαξεν αὐτὸν πᾶσαν γραφήν· με-
τὰ δὲ τὴν τοῦ πατρὸς τελευτήν· πάντα τὸν πλοῦτον αὐτοῦ·
δοὺς τοῖς πτωχοῖς. ἀπῆλθεν εἰς τὴν ἔρημον· καὶ ποιή-
σας ἐν τῇ ἐρήμῳ χρόνους εἴκοσι ἐπὶ τῷ θεῷ προσευχό-
μενος· τινὲς δὲ τῶν πονηρῶν καὶ χαιρεκάκων ἀνθρώπων.
ἐλοιδόρησαν αὐτὸν εἰς τὸν ἄρχοντα Ἀλεξανδρείας.
αὐγουστάλιον· ἀποσταλέντα παρὰ Δεκίου. εἰς τὸ φονεύ-
ειν τοὺς χριστιανούς· καὶ ἀποστείλας ὁ αὐγουστάλιος ἔδησε
αὐτόν. καὶ ἤγαγεν ἔμπροσθεν αὐτοῦ· καὶ κατηνάγκαζεν αὐτὸν
ἀρνήσασθαι τὸν Χ(ριστὸ)ν· καὶ προσκυνῆσαι τοῖς εἰδώλοις· ὡς δὲ
οὐκ ἐπείσθη. ἔτυψεν αὐτὸν ἰσχυρῶς μετὰ ῥαβδίων· ἐπὶ πο-
λὺ δὲ τυπτόμενος. εὐχαρίστει τῷ θ(ε)ῷ καὶ προσηύχετο· τὰ
δὲ εἴδωλα καταρώμενος. ἔλεγεν ὅτι οὐδέν εἰσιν· καὶ
οὕτω τυπτόμενος καὶ βασανιζόμενος. ἐτελειώθη·:

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Δάνακτος τοῦ ἀναγνώστου.

Ὁ ἅγιος μάρτυς Δάναξ. ὑπῆρχεν ἀπὸ τῆς χώρας τοῦ Ἰλλυ-
ρικοῦ· τόπου Αὐλῶνος καλουμένου· ἀναγνώστης ὢν τῆς
ἁγίας ἐκκλησίας. καὶ ὑπαναγινώσκων τὰς ἱερὰς [illegible]
γραφὰς τῶν χριστιανῶν· ἐν δὲ ταῖς ἡμέραις ἐκείναις·
συναχθέντων ἄγροικοι τινὲς καὶ ἄπιστοι· καὶ ἐν τοῖς
τόποις ἐκείνοις ἀπελθόντων· πολλοὺς τῶν χριστιανῶν
ἐφόνευσαν· ὁ δὲ ἅγιος Δάναξ· λαβὼν τὰ ἱερὰ σκεύη τῆς
ἐκκλησίας. διεσώθη εἰς τόπον ὀχυρὸν ἀπέχοντα ἀπὸ
Αὐλῶνος μίλια πέντε πρὸς θάλασσαν· καὶ καταλη-
φθέντος διὰ χωρίων πρὸς αὐτὸν οἱ πολέμιοι. ἠνάγκαζον
θύειν τῷ Διονύσῳ· λέγοντες ὅτι αὐτὸς δημιουργεῖ τὸν
οἶνον· ὁ δὲ ἅγιος ὡμολόγει τὸν Χριστὸν μόνον. ὅτι οὗτός ἐστιν
ὁ τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ποιήσας· ὁ δὲ Διόνυ-
σος τὸ οὐκ ἔστιν· ἀλλ' εἴδωλον κωφὸν καὶ ἄλαλον· οἱ δὲ
ὀργισθέντες. κατέκοψαν αὐτὸν μετὰ τῶν ξιφῶν ὡς ἱερά-
τον. καὶ ἔρριψαν ἐν τῇ θαλάσσῃ· Καὶ οὕτως ἐτελειώθη.

16 Jan. Danactis Lectoris Mart.

Μηνὶ τῷ αὐτῷ ιζ΄. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου·

Ὁ μέγας Ἀντώνιος ὁ Αἰγύπτιος· ἐν ἀσκηταῖς μέγας ἐγένετο· πλουσίων γὰρ γονέων ὑπάρχων· καὶ νέος ὤν, ἀφῆκε ἅπαντα καὶ ἀπελθὼν ἐμόνασεν· τυφθεὶς δὲ παρὰ τῶν δαιμόνων· καὶ προσευξάμενος τῷ θεῷ, τὰς πληγὰς ἰάθη· πάσας δὲ τὰς δυνάμεις τῶν δαιμόνων ἐνίκησε· οὕτως γὰρ ἔγνω τὰς πανουργίας αὐτῶν καὶ ἤλεγξεν, ὡς οὐδεὶς ἄλλος· νηστείαις δὲ πολλαῖς καὶ ξηροκοιτίαις καὶ προσευχαῖς προσκαρτερήσας ὅλος ἀδιάλειπτος· οὐκ ἐνέδωκεν· καὶ προγνώσεως διὰ τοῦτο ἠξιώθη καὶ σημείων πολλῶν· ἀλλὰ καὶ δικαίων καὶ ἁμαρτωλῶν τὰς ψυχὰς ἐπεγίνωσκε· τὰς μὲν πρὸς θεὸν ἀναφερομένας· τὰς δὲ πρὸς ᾅδην καταφερομένας· οὗτος ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἦν ἀγωνιζόμενος· καὶ περὶ τῆς Ἀρείου δὲ αἱρέσεως προεφήτευσεν· ἐγένοντο δὲ μαθηταὶ αὐτοῦ πολλοὶ καὶ διάδοχοι τῆς ἀσκήσεως αὐτοῦ· ὁ μέγας Ἀθανάσιος· ὁ Παῦλος ὁ θηβαῖος· ὁ μέγας Ἱλαρίων· ζήσας δὲ χρόνους ἑνενήκοντα πέντε, ἐτελεύτησε καὶ ἐτάφη παρὰ δύο μαθητῶν αὐτοῦ ἐν τόπῳ ἀφανεῖ·

17 Antonij magni

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων τριῶν παίδων Σπευσίππου, Ἐλασίππου, Βελεσίππου καὶ τῶν σὺν αὐτοῖς.

Αὐτάδελφοι ὑπῆρχον οἱ τρεῖς οὗτοι ἀπὸ Καππαδοκίας, ὁμοῦ γεννηθέντες ἐκ μιᾶς κοιλίας τρίδυμοι· ἦσαν δὲ ἱππικοὶ καὶ ἄριστοι. γυμνάζοντες τοὺς ἵππους ἐν μιᾷ δὲ ἑτοιμάσαντες τραπέζας ἔθυον τῷ Διΐ· καὶ προσκαλεσάμενοι τὴν μάμμην αὐτῶν Νεονίλλαν εἰς τὸ συμφαγεῖν αὐτοῖς, ἤκουσαν παρ᾽ αὐτῆς χριστιανῆς οὔσης περὶ τοῦ Χριστοῦ. καὶ ἐπίστευσαν· μαθόντες ὅτι τῶν ἐθνῶν οἱ θεοὶ ἄψυχοι λίθοι καὶ ξύλα εἰσί. καὶ ἀρύσαντες τοὺς ἄμους εἰς ἀπώλειαν· καὶ ἐνθουσιάσαντες συνέτριψαν τὰ εἴδωλα· ὡς δὲ ἦλθον οἱ κύριοι αὐτῶν Παλμάτος καὶ Ἑρμογένης καὶ Κοδράτος, ἐπειρῶντο μεταπεῖσαι αὐτούς· ὡς δὲ οὐκ ἔπεισαν, ἀνάψαντες κάμινον μεγάλην ἐνέβαλον αὐτούς· καὶ οὕτως ἐτελείωσαν· Ἰουνίλλα δέ τις γυνὴ κρατοῦσα παιδίον, ῥίψασα αὐτὸ ὡμολόγησεν ἑαυτὴν χριστιανήν· καὶ ἐξελθοῦσα ἀπεκεφαλίσθη μετὰ Νεονίλλης τῆς μάμμης τῶν μαρτύρων· Τούρβων δὲ ὁ νοτάριος δραμὼν κατεγράφετο τὰ ὑπομ- φθέντα εἴδωλα μάρων ὅτι χριστιανός εἰμι. καὶ ἀπεκεφαλίσθη καὶ αὐτός.

17 Jan. Speusippi, Elasippi et Melasippi Mar.

Μηνὶ τῷ αὐτῷ ιη΄. Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν. Ἀθανασίου καὶ Κυρίλλου

Ὁ μὲν μέγας Ἀθανάσιος ἦν ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου· παραγενόμενος δὲ ἀπὸ Ἀλεξανδρείας ἀποσταλεὶς παρὰ τοῦ ἀρχιεπισκόπου Ἀλεξάνδρου εἰς τὴν ἐν Νικαίᾳ σύνοδον, ἀρχιδιάκονος ὤν· καὶ διαπρέψας ἐν τῇ συνόδῳ· καταισχύνας τὸν Ἄρειον· μετὰ δὲ θάνατον τοῦ ἁγίου Ἀλεξάνδρου πατριάρχης γενόμενος Ἀλεξανδρείας· καὶ διὰ τὴν ὀρθόδοξον πίστιν πολλὰ πειρασθείς· καὶ διωχθείς· καὶ φυγών· καὶ ἐξορισθείς· καὶ ἐπὶ τεσσαράκοντα καὶ δύο χρόνοις ὑπὲρ Χριστοῦ ἀγωνισάμενος, κοιμηθεὶς ἐτελειώθη. Ὁ δὲ ἅγιος Κύριλλος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, ἀνεψιὸς Θεοφίλου πατριάρχου τῆς αὐτῆς πόλεως Ἀλεξανδρείας· οὗτινος γέγονε καὶ διάδοχος· παραγέγονε δὲ καὶ αὐτὸς εἰς τὴν συγκροτηθεῖσαν ἐν Ἐφέσῳ σύνοδον, ἐπὶ καθαιρέσει τοῦ δυσσεβοῦς Νεστορίου· τὰ πρωτεῖα φέρων ἐν ἐπισκόποις· εἶτα ἐν πολλοῖς καὶ ἄλλοις κατορθώμασι διαλάμψας, πρὸς Κύριον ἐξεδήμησεν, ἀπολαμβάνων τὴν αἰώνιον ζωήν.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τῆς ὁσίας Εὐσεβίας τῆς μετονομασθείσης Ξένης·

Ἡ ὁσία Εὐσεβία ἡ καὶ μετονομασθεῖσα Ξένη, ὑπῆρχεν ἐκ τῆς πόλεως Ῥώμης· εὐγενὴς καὶ εὔμορφος καὶ πλουσία. Τῶν δὲ γονέων αὐτῆς βουληθέντων πρὸς γάμον αὐτὴν ἐκδοῦναι· καὶ πάντων ἑτοιμασθέντων, ἐξ αὐτοῦ τοῦ παστοῦ μετὰ δύο δουλίδων ἀποφυγοῦσα· καὶ εἰς πλοῖον εἰσελθοῦσα, ἀπῆλθεν εἰς Ἀλεξάνδρειαν· ἐκ τοῦ πλοίου δὲ ἐξελθοῦσα, κατέμενεν εἰς οἴκημα πενιχρὸν διαφοροῦσα διὰ τὴν γυναικείαν ἀσθένειαν. οὐκ ἀπέλθοι· ἀλλ' ἐπέμεινεν αὐτῇ ὁ θεὸς ἀμφοτέρως μονάζονται τῷ μὲν ὀνόματι. καὶ ἐκεῖ μὲν ὡδηγήθησαν αὐτὴν πρὸς σωτηρίαν· ἀνελάμβανε γὰρ αὐτὰς καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν εἰς Μύλασσαν τῆς Καρίας. Καὶ ἔκτισεν ἐκκλησίαν ἐπὶ τῷ ὀνόματι τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου. καὶ ἀπὸ κατέστησεν αὐτὰς ἐκεῖ· καὶ τοσοῦτον ἠγωνίσατο ἡ ἁγία, ὡς καὶ πολλῶν θαυμάτων ἀξιωθῆναι· καὶ οὕτως ὁσιώσασα, τέλει ὁσίῳ ἐχρήσατο·

18 Jan. Eusebia mutato nomine vocata Xena

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος Θεοδούλης.

Θεοδούλη ἡ μάρτυς ὑπῆρχεν ἐκ τῆς Ἀναζάρβου πόλεως.
ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν
καὶ τὴν ὁμολογίαν, ἐκρατήθη παρὰ Πελαγίου ἄρχοντος
τῆς Ἀναζάρβου. καὶ βασανισθεῖσα ἰσχυρῶς· καὶ βασανιζο-
μένη, ἐθαυματούργησε· καὶ θαυματουργήσασα, ἐπεσπά-
σατο πολλοὺς καὶ ἐποίησε προσελθεῖν τῷ Χριστῷ καὶ γενέσθαι
χριστιανούς· ἐξ ὧν ἦσαν ὁ κομενταρήσιος καὶ ὁ βοηθὸς Ἑλ-
λάδιος· οἵτινες καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. ἡ δὲ
ἁγία ὑπὸ σουβλίων πυρωθέντων διετρυπήθη καὶ κα-
τεκάη τοὺς μαστούς· εἶτα ἀπὸ τῶν τριχῶν ἐκρεμάσθη
ἐν κυπαρίσσῳ· καὶ τοὺς πόδας μετὰ τῶν καρφίων
καθηλώθη· καὶ ἐκρέματο ἐπὶ πολύ· καὶ μετὰ ταῦ-
τα λυθεῖσα καὶ εἰς κάμινον πυρὸς ἰσχυρῶς ἐκκαι-
εῖσαν μετὰ καὶ ἑτέρων ἁγίων ἐμβληθεῖσα. ἐπὶ πολὺ
προσευξαμένη· καὶ τὰς χεῖρας ἐκτείνασα καὶ
εὐχαριστήσασα, παρέδωκε τὴν ἁγίαν αὐτῆς ψυχὴν τῷ Θεῷ.

8 .. Theodule Mart

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΘΕΟΔΟΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΙΑΣ ΤΗΣ ΚΥΠΡΟΥ·

Οὗτος ἦν ἐπὶ Λικιννίου τοῦ βασιλέως· καὶ Σαβίνου ἡγεμό-
νος τῆς Κυπρίων νήσου· διὰ δὲ τὴν εἰς Χν ὁμολογίαν. κρα-
τηθεὶς προσήχθη τῷ ἡγεμόνι Σαβίνῳ. καὶ τύπτεται μετὰ
νεύρων ξηρῶν ἰσχυρῶς· εἶτα κρεμᾶται ἐπὶ ξύλου. καὶ
ξέεται τὰς σάρκας· καὶ ἐπὶ πυρωθέντος σιδήρου κρε-
βάττου ἁπλοῦται· παραδόξως δὲ τῇ τοῦ Θυ χάριτι λυ-
τρωθεὶς ἐκ τοῦ πυρὸς. ὑποδύεται σιδηρᾶ ὑποδήματα
μετὰ ἥλων ὀξέων. καὶ ἀναγκάζεται τρέχειν· εἶτα ἀποκλεί-
σθεὶς ἐν τῇ φυλακῇ· καὶ ἐπεὶ ἐπαύσατο ὁ κατὰ τῶν Χρι-
στιανῶν διωγμὸς· προφθάσει τοῦ μεγάλου Κωνσταντίνου·
τότε τῆς τῶν Ῥωμαίων βασιλείας κρατήσαντος. ἀ-
πελύθη καὶ αὐτὸς τῆς φυλακῆς· καὶ ἦν διατρίβων ἐν
τῇ ἑαυτοῦ ἐκκλησίᾳ. ἀφόβως διδάσκων τοῦ Κυ ἡμῶν
Ιυ Χυ τὸν λόγον· καὶ ζήσας ἔτη δύο. καὶ πολλοὺς πρὸς
τὴν εὐσέβειαν ἐπιστρέψας. πρὸς Κν ἐξεδήμησε· καὶ ἐ-
τάφη ἐντίμως. ὑπὸ τῶν αὐτοῦ γνωρίμων μαθητῶν·

m. 19 Theodoti Epi Cyrenes in Cipro Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐφρασίας.

Ἡ ἁγία μάρτυς Εὐφρασία ἦν μὲν ἐκ τῆς πόλεως Νικομηδεί-
ας, ἐν τοῖς Μαξιμιανοῦ τοῦ βασιλέως· γένους πλουσίου καὶ
τρόπου σώφρονος καὶ ἀγαθοῦ. κρατηθεῖσα δὲ καὶ ἀναγκα-
σθεῖσα θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεῖσα, παρε-
δόθη πρὸς τὸ μιανθῆναι ἀνδρὶ βαρβάρῳ καὶ ἀγροίκῳ·
ἰδοῦσα δὲ τὴν ἀνάγκην, ἐμηχανήσατό τι τοιοῦτον· εἶ-
πεν γὰρ πρὸς αὐτόν· ὅτι ἐὰν ἀφήσεις με, ἔχω σοι δοῦναι
φάρμακον· ὅπερ ἐὰν κατάσχῃς, οὔτε ξίφος οὔτε ἄλ-
λο τι καταψαύσει ἢ τρώσει σε· ἀλλ᾽ ἔχεις διαφυ-
λάττεσθαι ἀπὸ τῶν κονταρίων καὶ τῶν σπαθίων
καὶ παντὸς [illegible]. ὁ δὲ εἶπεν· ὅτι θέλω τοῦ-
το μαθεῖν καὶ πληροφορηθῆναι. ἐκείνη δὲ τὸν
ἴδιον τράχηλον προτείνασα, εἶπεν· κροῦσον μετὰ
τοῦ σπαθίου, καὶ οὐ δυνήσῃ με ἀποκεφαλίσαι. ἐκεῖ-
νος δὲ πιστεύσας ὅτι ἀληθῆ λέγει, ἔκρουσε μετὰ τοῦ
σπαθίου καὶ ἀπεκεφάλισε· καὶ οὕτως ἐρρύσθη ἐξ αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων πρων ἡμῶν
μακαρίου τοῦ ῥωμαίου καὶ ἑτέρου μακαρίου τοῦ αἰγυπτ(ίου):

Οὗτος ὁ μέγας μακάριος ὁ ῥωμαῖος· ὑπὸ τοῦ πρς γυναικὶ συζευχθεὶς
καὶ μὴ θέλων· καταλιπὼν αὐτὴν, ἠγάπησε φυγεῖν καὶ
σωθῆναι· καὶ ἐλθὼν παραλαμβάνει αὐτὸν ἄγγελος θῦ. ὁδηγῶν
πανταχοῦ· ὡς καὶ εἰς τὸν παράδεισον ἀπέχειν αὐτὸν μι
λίων εἴκοσι. καὶ κατοικῆσαι ἐκεῖ· ἔνθα καὶ εὗρον αὐτὸν τρεῖς
μοναχοί· θεόφιλος· σέργιος· καὶ ὑγεῖνος· οἷς καὶ διηγήσα
το θαύματα παράδοξα καὶ τέρατα. ἅπερ ἐθεάσατο· εἶ
τα ἐν μακροτάτῳ γήρᾳ, πρὸς κν̄ ἐξεδήμησεν· ὁ δὲ ἕτερος
ὅσιος μακάριος· ὁ καὶ κολοβὸς τὴν ἡλικίαν. ἐγένετο ἀπὸ
ἀλεξανδρείας τῆς αἰγύπτου· καταλιπὼν δὲ τὸν κόσμον
καὶ τὴν ἔρημον καταλαβὼν. ἐγένετο μοναχὸς ὑπὸ ἄλλου
τινὸς γέροντος· καὶ οὕτω διέλαμψεν εἰς ἀρετήν· πάσας
τὰς ἐντολὰς τοῦ θῦ κατορθώσας. ὡς καὶ κατὰ δαιμόνων
ἐξουσίαν λαβεῖν· καὶ θεωρεῖν αὐτοὺς ὀφθαλμοφανῶς.
καὶ ἐπιτιμᾶν αὐτοῖς· καὶ ἄλλα δὲ θαύματα οὐκ ὀλίγα
ποιήσας εἰς δόξαν χῦ. χαίρων ἐν εἰρήνῃ ἀνεπαύσατο:

19 Ian. Macarij . Romane, et alterius Macarij Aegyptij

Μηνὶ τῷ αὐτῷ κ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Οὐαλεριανοῦ, Κανδίδου, Ἀκύλα καὶ Εὐγενίου.

Οὗτοι ἤθλησαν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· τοῦ γὰρ ἡγεμόνος Ἀγρικολάου καὶ Λυσίου τοῦ δουκὸς τοὺς χριστιανοὺς φονευόντων· ἐν τῇ Σεβαστείᾳ μὲν τοὺς ἁγίους τοὺς τεσσαράκοντα· ἐν τῇ Νικοπόλει δὲ τοὺς ἁγίους τοὺς σαράκοντα πέντε· ἦλθον τινὲς λέγοντες ὅτι ἐν τοῖς ὄρεσι Τραπεζοῦντος κρύπτονται τινὲς χριστιανοί· καὶ ἀποστείλας ὁ Λυσίας ἐκράτησεν αὐτούς· καὶ δήσας μετὰ τῶν [illegible]· [illegible] ἀφειδῶς καὶ [illegible] καὶ [illegible] καὶ [illegible] αὐτούς· τότε ὁ ἅγιος Εὐγένιος εἰσελθὼν μετὰ τοῦ ἡγεμόνος εἰς τὸν ναὸν τῶν εἰδώλων· καὶ [illegible] πρὸς τὸν θεὸν καὶ εὐξάμενος, συνέτριψε τὰ εἴδωλα· καὶ τότε πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστόν· εἶτα ὁ μὲν ἅγιος Κάνδιδος καὶ Ἀκύλας καὶ Οὐαλέριος ἀπεκεφαλίσθησαν· ὁ δὲ ἅγιος Εὐγένιος ἐπὶ ξύλου κρεμασθεὶς ἐν τῇ φυλακῇ καὶ διαφόρως τιμωρηθεὶς καὶ εἰς πῦρ ἐμβληθεὶς καὶ διασωθεὶς, ἀπεκεφαλίσθη καὶ αὐτός.

Jan. 20 Valeriani Candidi Aq. et [illegible]

✠ Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τῶν ἁγίων μαρτύρων· Βάσσου· Εὐσεβίου· Εὐτυχίου· καὶ Βασιλείδου:

Καὶ οὗτοι οἱ ἅγιοι. ἐπὶ τοῦ παρανόμου βασιλέως Διοκλητιανοῦ ἐμαρτύρησαν· πρῶτοι γὰρ ὄντες τοῦ παλατίου· καὶ πλούσιοι καὶ ἔνδοξοι· καὶ ἰδόντες τὸν ἅγιον Θεόπεμπτον τὸν ἐπίσκοπον μαρτυροῦντα καὶ βασανιζόμενον. ἐπίστευσαν τῷ Χριστῷ· καὶ λύσαντες τὰς ζώνας αὐτῶν. ἔρριψαν ἔμπροσθεν τοῦ βασιλέως· Χριστιανοὺς ἑαυτοὺς λέγοντες· τότε προστάξει ὁ βασιλεύς· εἰσαφληθηλάρυσιν. ἀφαιρεῖν τὰ χρήματα αὐτῶν καὶ δοῦναι ἑτέροις· οἱ δὲ ἐποίησαν τοῦτο μετὰ προθυμίας· βόθρου δὲ ὀρυχθέντος· ἐντεθεὶς ὁ ἅγιος Βάσσος μέχρι τοῦ στήθους· καὶ τὰς χεῖρας ἐκκοπείς· παρέδωκε τὸ πνεῦμα· ὁ δὲ ἅγιος Εὐσέβιος μέσον δύο ξύλων κατὰ κεφαλῆς κρεμασθείς· καὶ μετὰ πελέκεων κατακοπείς· ἐτελειώθη· ὁ δὲ Εὐτύχιος εἰς τέσσαρας πασσάλους δεθεὶς πόδας καὶ χεῖρας· ἐσχίσθη εἰς τρία· καὶ οὕτως ἐκοιμήθη· ὁ δὲ ἅγιος Βασιλείδης τὴν κοιλίαν μετὰ μαχαίρας μέσον διαρραγείς· πρὸς Κύριον ἐξεδήμησεν +

20 Jan. Bassi Eusebii, Eutichii et Basilidis Mart.

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰννᾶ, Ῥημᾶ καὶ Πιννᾶ.

Οὗτοι οἱ ἅγιοι ὡρμῶντο ἀπὸ Σκυθίας ἐκ τοῦ βορείου μέρους, μαθηταὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου· καὶ διδάσκοντες ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, πολλοὺς τῶν βαρβάρων ἐπέστρεφον πρὸς τὴν ὀρθὴν πίστιν βαπτίζοντες· διὰ τοῦτο δὲ κρατηθέντες παρὰ τοῦ τῶν βαρβάρων ἄρχοντος καὶ πολλὰ ἀναγκασθέντες ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς εἰδώλοις, οὐκ ἐπείσθησαν. Καὶ γενομένου χειμῶνος σκληροτάτου, καὶ τῶν ποταμῶν παγέντων ἀπὸ τοῦ κρύους, ὥστε καὶ ἐπάνω τοῦ κρυστάλλου περιπατεῖν μὴ μόνον ἀνθρώπους, ἀλλὰ διέρχεσθαι καὶ τοὺς ἵππους καὶ τὰς ἁμάξας, πήξαντες ἐν μέσῳ τοῦ κρυστάλλου ξύλα μεγάλα ὡς αὐτόριζα δένδρα, προσέδησαν ἐκεῖ τοὺς ἁγίους. Καὶ τοῦ ὕδατος κυματίζοντος καὶ κρυστάλλου αὐξάνοντος κατ' ὀλίγον, καὶ φθάσαντος ἕως τοῦ τραχήλου τῶν ἁγίων, ἀπὸ τῆς πολλῆς δριμύτητος καὶ τῆς ὀδύνης τοῦ κρύους, παρέδωκαν τὰς μακαρίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Εὐθυμίου πρεσβυτέρου γενομένου καὶ καθηγητοῦ
τῆς ἐρήμου.

Εὐθύμιος ὁ μέγας ἦν ἐπὶ τῆς βασιλείας Γρατιανοῦ· ἀπὸ Με-
λιτινῆς πόλεως Ἀρμενίας· υἱὸς Παύλου καὶ Διονυσίας·
ὄντων εὐγενῶν καὶ εὐσεβῶν. ὑπὸ θεοῦ ἤκουσαν ὅτι παιδίον
γεννήσουσι· καὶ ὅτι ἐν τῇ γεννήσει αὐτοῦ εὐθυμήσουσι
πᾶσαι αἱ ἐκκλησίαι καὶ ὁ κόσμος· διὰ τοῦτο καὶ ὅτε ἐγεν-
νήθη τὸ παιδίον, ὠνόμασαν αὐτὸ Εὐθύμιον· αὐξηθεὶς
δὲ ἐγένετο κληρικὸς παρὰ τοῦ ἐκεῖσε ἐπισκόπου· εἶ-
τα καὶ πρεσβύτερος· καὶ ἔξαρχος τῶν μοναστηρίων·
εἶτα ἀπελθὼν εἰς Ἱεροσόλυμα, καὶ ἐν τῷ σπηλαίῳ τοῦ
ὁσίου Θεοκτίστου ἡσυχάζει· τοσοῦτον δὲ ἠγωνίσατο,
ὥστε διὰ τὴν ἀρετὴν αὐτοῦ παρασκευάζειν τοὺς Σαρα-
κηνοὺς καθ' ἑκάστην ἡμέραν προσέρχεσθαι τῷ Χριστῷ καὶ βα-
πτίζεσθαι μετὰ παντὸς τοῦ οἴκου αὐτῶν· πολλὰ δὲ θαύ-
ματα εἰργάσατο· καὶ λειτουργῶν ἐφάνη ὥσπερ φλὸξ πυ-
ρός· ὑπάρχων δὲ ἐτῶν ἐνενήκοντα ἑπτά, ἐν καλῷ γήρει
πρὸς κύριον ἐξεδήμησεν, ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μακαρίου.

✠ Μηνὶ τῷ αὐτῷ κα΄. ἄθλησις τοῦ ἁγίου μάρτυρος Νεοφύτου·

Νεόφυτος ὁ μάρτυς τοῦ χ(ριστο)ῦ· ὑπῆρχεν ἀπὸ πόλεως νικαί-
ας τῆς βιθυνίας. ἐπὶ τῆς βασιλείας διοκλητιανοῦ· υἱὸς
γενόμενος χριστιανῶν. θεοδώρου καὶ φλωρεντίας· παιδίον
δὲ ὤν. ὅμως χάριτος θ(εο)ῦ ἐπεπλήρωτο καὶ ἐθαυματούρ-
γει· εἰς γὰρ τὸ σχολεῖον ἀπερχόμενος μετὰ τῶν συσχολιτῶν·
προσηύχετο καὶ διέτρεφεν αὐτούς· ἠκολούθει δὲ αὐτῷ
πάντοτε περιστερά· καὶ φωνὴ ἀμίμη. συνεπετύγχανεν
αὐτῷ· ἐξ οὗ καὶ ἀκούσασα ἡ μήτηρ τοῦ ἁγίου τῆς περιστερᾶς
ἀνθρωπίνως διαλεγομένης αὐτῷ. ἀπὸ τοῦ φόβου ἀπέ-
θανεν· ἀλλ᾽ ὁ ἅγιος αὐτὴν προσευξάμενος ἀνέστησεν·
ἀνήρχετο δὲ εἰς τὸ ὄρος συχνῶς τοῦ ὀλύμπου. καὶ ἡσύχα-
ζε· καὶ μαθὼν τὰ περὶ αὐτοῦ ὁ ἡγεμὼν δέκιος· ἀπο-
στείλας καὶ κρατήσας αὐτόν· ἔτυψεν ἰσχυρῶς· εἶτα
εἰς φοῦρνον πυρωθέντα ἐνέβαλεν· ἀλλὰ καὶ ἐκ τοῦ
φούρνου σωθεὶς· ἐθηριομάχησε· καὶ τῶν θηρίων λυτρω-
θεὶς· ἀπεσφάγη ὑπό τινος τῶν παρεστηκότων τῷ ἄρχοντι·

Jan. 21 — Neophyti Martyris ...

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου Ζωσίμου ἐπισκόπου Συρακούσης.

Ζώσιμος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν. ἐγένετο ἀπὸ Σικελίας· υἱὸς γο-
νέων πιστῶν καὶ δικαίων. καὶ ἐν αὐταρκείᾳ ζώντων· οἵτι-
νες εἶχον κτῆμα πλησίον τῆς μονῆς τῆς ἁγίας Λουκίας τῆς
παρθένου· ὅτε δὲ ἐγεννήθη ὁ Ζώσιμος, ἐδόθη δῶρον ὑπὸ
τῶν γονέων τῇ ἁγίᾳ Λουκίᾳ· καὶ ἀνατραφεὶς ἐν τῇ μονῇ.
ἐγένετο προσμονάριος τῆς τιμίας αὐτῆς θήκης· καί πο-
τε ἀπελθὼν πρὸς τοὺς γονεῖς, οὐ συνεχωρήθη μικρὸν μετ' αὐ-
τῶν διατρίψαι· ἀλλ' ὀφθεῖσα ἐν ταὐτῷ πάλιν πρὸς τὸν ναὸν τῆς
ἁγίας· εἰπόντων τῶν γονέων αὐτοῦ πρὸς αὐτόν· ὅτι ἐκεῖ ὀφεί-
λεις εἶναι, ὅπου καὶ ὑπεσχόμεθα· τριάκοντα δὲ ἔτη ποιήσας
ἐν τῇ μονῇ, ἐγένετο καὶ ἡγούμενος αὐτῆς· εἶτα γέγονε καὶ ἐπίσκο-
πος τῆς πόλεως Συρακούσης, ὑπὸ Θεοδώρου πάπα Ῥώμης· γενόμε-
νος δὲ ἐπίσκοπος, οὐκ ἠμέλησε τοῦ λαοῦ· ἀλλὰ πολλοὺς διδά-
ξας περὶ τῆς αἰωνίου ζωῆς· καὶ περὶ κρίσεως καὶ ἀνταποδό-
σεως· καὶ καλῶς διακυβερνήσας τὴν ἐμπιστευθεῖσαν αὐτῷ
ἐκκλησίαν πεντήκοντα χρόνων ὤν· τελειοῦται χρήσας τό

341

✠ Μηνὶ Ἰαννουαρίῳ κβ΄. ἄθλησις τοῦ ἁγίου ἀποστόλου Τιμοθέου ἐπισκόπου Ἐφέσου, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Παύλου.

Τιμόθεος ὁ τοῦ Χριστοῦ ἀπόστολος, ἐγένετο ἐκ τῆς πόλεως Λύστρας· ἦν δὲ υἱὸς μὲν Ἕλληνος, μητρὸς δὲ Ἰουδαίας· ἐγένετο δὲ καὶ μαθητὴς τοῦ ἁγίου ἀποστόλου Παύλου. καὶ περιπατῶν μετ' αὐτοῦ ἐδίδασκεν· εἶτα ἐποίησεν αὐτὸν πρῶτον ἐπίσκοπον Ἐφέσου ὁ ἅγιος Παῦλος ἐπὶ τῆς Ἀσίας μένων, πρὸ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου· ὁ γὰρ θεολόγος ὕστερον ἦλθεν εἰς Ἔφεσον μετὰ τὴν κοίμησιν τῆς ἁγίας Θεοτόκου. ὁ δὲ ἅγιος Τιμόθεος ἐδίδασκε τὸν λαὸν τὴν εἰς Χριστὸν πίστιν· ἐν μιᾷ δὲ τῶν ἡμερῶν ἰδὼν τοὺς Ἕλληνας ἑορτὴν μιαρὰν ἐπιτελοῦντας τοῖς εἰδώλοις, ἅμα γυναιξὶ καὶ ἀνδράσι, καὶ ἀσέμνα ἐργαζομένους, κατελθὼν πρὸς αὐτοὺς καὶ παραινέσας παύσασθαι τῆς κακίας, οὐκ ἔπεισεν αὐτούς· ἀλλὰ μᾶλλον ἐφονεύθη παρ' αὐτῶν μετὰ τῶν ῥαβδίων ὧν μετεκράτουν, ἐν αὐτοῖς τοῖς ἐμβόλοις τῆς πόλεως· ἐν οἷς καὶ ἐτάφη τὸ τίμιον αὐτοῦ λείψανον.

Ianuar.

Ian. 22 Timothei Ep. Ephesi, discipuli B. Pauli

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Βικεντίου διακόνου.

Ἀπὸ αὐγουστοπόλεως ἦν οὗτος ἐπὶ τῆς βασιλείας μα-
ξιμιανοῦ. καὶ δομετιανοῦ ἡγεμόνος. ἐκρατήθη δὲ μετὰ
τοῦ ἐπισκόπου οὐαλερίου· καὶ ἤχθη εἰς πόλιν ἀρμένην
καραντίαν. καὶ τῇ φυλακῇ παρεδόθη· εἶτα ἀχθεὶς πρὸς
δομετιανόν. νεύροις ὠμοῖς τύπτεται· καὶ διὰ σιδήρων ξέ-
εται· καὶ αὖθις ἐπὶ πολὺ κρεμασθείς. διὰ λαμπάδων
πυρὸς τὰς πλευρὰς καταφλέγεται· καὶ σιδηραῖς ἐσχάραις
πυρωθείσαις κατακεντεῖται· παραλυθέντων δὲ τῶν
δημίων· καὶ τοῦ ἁγίου μάρτυρος ὑγιοῦς καταστάντος θεοῦ
χάριτι. μετακληθεὶς ὁ τύραννος. ἤρξατο κολακεύειν
αὐτόν· καὶ ἔλεγε πρὸς αὐτόν· ἰδοὺ ἐγὼ ἀπολύω σε καὶ οὐ
φονεύω· θέλησον μόνον ἀρνήσασθαι τὸν χριστόν. καὶ προσκυ-
νῆσαι τοῖς θεοῖς· ὁ δὲ ἅγιος μηδὲ ἀνεχόμενος ἀκούειν
αὐτοῦ ὡς ματαιοφρονοῦντος. προσευξάμενος τῷ θεῷ ἀφῆ-
κε τὸ πνεῦμα· τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἐτάφη
ἐν αὐτῷ τῷ τόπῳ παρά τινων καὶ εὐλαβῶν ἀνδρῶν.

22 Jan. Vincentii diaconi Mart. ex Augusti

Τῇ αὐτῇ ἡμέρᾳ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

Οὗτος ἦν ἐκ Περσίδος· βασιλευόντων Ῥωμαίων μὲν Ἡρακλείου, Περσῶν δὲ Χοσρόου· υἱὸς μάγου τινός· ὑπάρχων δὲ καὶ αὐτὸς μάγος, συνεκρίθη μὲν ἐν τῇ τῶν τηρώνων στρατείᾳ· καταδραμόντων δὲ τῶν Περσῶν τῶν ἁγίων τόπων· καὶ λαβόντων σὺν τοῖς αἰχμαλώτοις καὶ τὸ τίμιον ξύλον, ἐφημίζετο παρ' αὐτῶν ὅτι ὁ τῶν Χριστιανῶν Θεὸς ἦλθεν εἰς τὴν χώραν αὐτῶν· Θεὸν γὰρ ἐνόμιζον ὅτι ὁ τίμιος σταυρὸς διὰ τὰ ὑπ' αὐτοῦ τελούμενα θαυμάσια· ζητήσας οὖν ὁ ἅγιος Ἀναστάσιος περὶ αὐτοῦ, ἔμαθε πᾶσαν τὴν οἰκονομίαν. καὶ ἐπίστευσε τῷ Χριστῷ. καὶ ἦλθε πρῶτον μετὰ τῶν Περσῶν εἰς Χαλκηδόνα· καὶ τὸν τοῦ θεοῦ φόβον εἰς νοῦν λαβών, κατέλιπε τὴν στρατείαν καὶ τὴν δόξαν τοῦ κόσμου. καὶ ἀπῆλθεν εἰς Ἱεράπολιν· εἶτα εἰς Ἱεροσόλυμα· καὶ βαπτίζεται καὶ γίνεται μοναχὸς ἐν τῇ λαύρᾳ τοῦ ἀββᾶ Ἀναστασίου· καὶ ἐπιθυμήσας τοῦ ὑπὲρ Χριστοῦ μαρτυρῆσαι, ἀπῆλθε πάλιν εἰς τὴν ἰδίαν χώραν· καὶ κρατηθεὶς παρὰ τῶν Περσῶν καὶ τιμωρηθεὶς ἀπεκεφαλίσθη.

Jan. 22 Anastasius

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἀνακομιδὴ τῶν τιμίων λειψάνων τοῦ αὐτοῦ ἁγίου μάρτυρος Ἀναστασίου τοῦ Πέρσου:

Τοῦ βασιλέως Ἡρακλείου ἀπελθόντος ἐν τῇ Περσίδι·
καὶ τοῦ Χοσρόου ἀποθανόντος, μοναχός τις ἐκ τῆς μο-
νῆς τοῦ μάρτυρος· ἰδὼν τὸν στρατὸν τοῦ βασιλέως, ἐχαί-
ρη καὶ ἡμμίγη αὐτῷ ὡς χριστιανῶν ὑπαρχόντων. καὶ
ὑποστρεφόντων αὐτῶν, ἦλθε καὶ αὐτὸς εἰς τὸν ἱερὸν
λείψανον αὐτοῦ· καὶ ἀπεκόμισεν αὐτὸ καὶ τὸ κολόβιον
τοῦ μάρτυρος· καὶ διηγήσατο αὐτῷ ὅτι ἐν Περσίδι δαι-
μονιῶντα περιπαλαιὸν αὐτό, ἰάσατο· καὶ ὁ μὲν Ἡράκλει-
ος ἐν τῷ εἰκοστῷ ἔτει τῆς αὐτοῦ βασιλείας, ἀνεκόμισεν
εἰς Ἱερουσαλὴμ τὸ τίμιον ξύλον· ἐπίσκοπος δέ τις
ἀποσταλεὶς παρὰ τοῦ καθολικοῦ ἀρχιεπισκόπου
ἐπὶ τὰ Ῥωμαϊκὰ μέρη, ἀνελάβετο τὰ λείψανα τοῦ
ἁγίου καὶ ἀπεκόμισεν εἰς Καισάρειαν· καὶ ἐκεῖθεν
τὴν μὲν ἱερὰν μερίδα, τὸ λοιπὸν κατέσχον· ἡ δὲ τιμία κε-
φαλὴ τοῦ μάρτυρος καὶ ἡ εἰκὼν, προσκυνεῖται πα-
ρὰ τῶν πιστῶν ἐν τῇ μεγάλῃ καὶ παλαιᾷ Ῥώμῃ:

344

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων Μανουὴλ, Γεωργίου,
Λέοντος, καὶ τῶν σὺν αὐτοῖς ὑπὸ τῶν ἀθέων Βουλ-
γάρων σφαγέντων ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἀρμενίου.

Ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἀρμενίου, Κροῦμος ὁ τῶν
Βουλγάρων ἄρχων μετὰ λαοῦ πολλοῦ ἀπελθὼν εἰς Ἀδρι-
ανούπολιν τῆς Θρᾴκης, ἐκράτησεν αὐτῆς νόμῳ πολέμου.
Καὶ μετὰ τὴν ἅλωσιν, ἐπίασε καὶ τὸν ἁγιώτατον ἐπίσκο-
πον Μανουήλ· καὶ τὰς χεῖρας αὐτοῦ ἀποκόψας ἀπὸ τῶν
ὤμων πρῶτον, ἔπειτα μέσον μετὰ τοῦ σπαθίου κό-
ψας, ἔρριψε τοῖς θηρίοις εἰς βρῶμα. Καὶ διὰ τὴν ἁμαρτί-
αν τυφλωθεὶς, ἐφονεύθη παρὰ τοῦ οἰκείου λαοῦ· καὶ πα-
ρ' αὐτοῦ μετὰ ἀχρειμίων ἀπεπνίγη. Διαδεξάμενος δὲ
τὴν ἀρχὴν τῶν Βουλγάρων Τζόκος ὁ ἀθεώτατος, συ-
νήγαγε πάντας τοὺς κρατηθέντας Χριστιανούς· στρα-
τηγούς, πρεσβυτέρους, διακόνους, καὶ λαϊκούς. Καὶ
κατηνάγκαζεν ἀρνήσασθαι τὸν χριστιανισμόν· οὐ-
πω γὰρ ἦσαν οἱ Βούλγαροι Χριστιανοί. Καὶ μὴ πει-
σθέντας, τοὺς μὲν ἀπεκεφάλισε, τοὺς δὲ διαφό-
ροις τιμωρησάμενος καὶ ἀνηλεῶς, ἐφόνευσεν.

Jan 22 Manuel George Leo [illegible] [illegible] [illegible] Bulgarians [illegible] Leo Armenian

Μηνὶ τῷ αὐτῷ κγ΄. Ἄθλησις τοῦ ἁγίου καὶ πολυάθλου Κλήμεντος ἐπισκόπου Ἀγκύρας τῆς Γαλατῶν ἐπαρχίας.

Ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐγένετο ὁ ἅγιος Κλήμης
ἀπὸ Ἀγκύρας τῆς Γαλατίας· πατρὸς μὲν ὢν Ἕλληνος, μητρὸς δὲ χρι-
στιανῆς, Εὐφροσύνης ὀνόματι· ἥτις καὶ προεφήτευσε
περὶ αὐτοῦ ὅτι μέλλει ὑπὲρ Χριστοῦ μαρτυρῆσαι. καὶ μετὰ
τὴν τελευτὴν αὐτῆς ἀνετράφη παρὰ γυναικὸς πλουσίας
Σοφίας ὀνόματι. καὶ γίνεται μοναχός· εἶτα διάκονος·
εἶτα πρεσβύτερος· καὶ μετὰ τοῦτο ἐπίσκοπος, χρό-
νων ὑπάρχων εἴκοσι· βαπτίζων δὲ τὰ τῶν Ἑλλήνων
παιδία, ἐκρατήθη παρὰ Δομετιανοῦ τοῦ βικαρίου καὶ
ἐτιμωρήθη ἐν Ἀγκύρᾳ· εἶτα εἰς Ῥώμην παρὰ Διοκλη-
τιανοῦ· εἶτα εἰς Νικομήδειαν παρὰ Μαξιμιανοῦ καὶ
παρὰ Ἀγριππίνου· καὶ πάλιν εἰς Ἄγκυραν· εἶτα εἰς
Ἀμισόν· εἶτα εἰς Ταρσόν· καὶ πάλιν εἰς Ἄγκυραν· ἐν-
θα καὶ εἰς φυλακὴν βληθείς, καὶ ἐν αὐτῇ λειτουρ-
γῶν, ἀποσφάττεται ἅμα Χριστοφόρῳ καὶ Χαρίτω-
νι τοῖς διακόνοις, παρὰ Ἀλεξάνδρου τοῦ ἄρχοντος.

347

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀγαθαγγέλου καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων ἀνδρῶν, γυναικῶν, καὶ παιδίων

Ὄντος τοῦ ἁγίου Κλήμεντος ἐν Ῥώμῃ ἐν τῇ φυλακῇ· καὶ πολλῶν καὶ ἄλλων ὑπ' ἀρχόντων ἀποκεκλεισμένων ἔξωθεν ἦν καὶ ὁ ἅγιος Ἀγαθάγγελος. εἶδεν ἄγγελον ἀπὸ θεοῦ φανέντα ὁ αὐτὸς Ἀγαθάγγελος· καὶ ἐλθόντα καὶ ἐπιδόντα τῷ ἁγίῳ Κλήμεντι ἄρτον καὶ οἶνον καὶ ὑποχωρήσαντα. Καὶ ἐπίστευσεν μετ' αὐτῶν ἄλλων εἰς τὸν Χριστόν. Ἔμαθε δὲ τοῦτο ὁ Διοκλητιανός, καὶ ἀπεκεφάλισε πάντας· ἠδυνήθη δὲ φυγεῖν ὁ ἅγιος Ἀγαθάγγελος. Καὶ μέλλοντος τοῦ ἁγίου Κλήμεντος εἰς τὸ πλοῖον ἐμβῆναι καὶ πλεῦσαι εἰς Νικομήδειαν, προλαβὼν ὁ Ἀγαθάγγελος καὶ εἰσελθὼν εἰς τὸ πλοῖον, περιέμενεν αὐτόν· ἰδὼν δὲ αὐτὸν ὁ ἅγιος Κλήμης, ἐχάρη· καὶ Ἀγαθαγγέλου παρουσίαν ἐνόμισε. Καὶ ἠκολούθει αὐτῷ, ἕως οὗ ἔφθασεν εἰς Ἄγκυραν πρὸς Λούκιον· καὶ ἐκεῖ ἀπεκεφαλίσθη παρὰ Λουκίου, μετὰ τῶν παιδίων καὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν τῶν σὺν αὐτῷ καὶ τῷ ἁγίῳ Κλήμεντι, Χριστῷ [illegible]

348

Μηνὶ τῷ αὐτῷ κδ΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Παύλου, Παυσιρίου, καὶ Θεοδοτίωνος·

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξι-
μιανοῦ· καὶ Ἀρριανοῦ ἄρχοντος. ἐν Κλεοπατρίδι· ὑπάρ-
χοντες δὲ ἀδελφοὶ κατὰ σάρκα· καταλιπόντες τὸν κό-
σμον. ἐγένοντο μοναχοί· εἶτα κρατηθέντες ὑπὸ τοῦ
ἄρχοντος βασανίζονται· ὑπῆρχον δὲ ἐτῶν ὅτε ἐκρα-
τήθησαν. ὁ μὲν Παῦλος τριακονταεπτά· ὁ δὲ Παυσί-
ριος εἰκοσιπέντε· ὁ δὲ Θεοδοτίων καταλιπὼν τὴν
μοναχικὴν κατάστασιν. ἐγένετο λῃστής· καὶ ὅτε ἤ-
κουσεν ὅτι ἐκρατήθησαν οἱ ἀδελφοὶ αὐτοῦ, ἦλθεν
ἰδεῖν αὐτούς· καὶ ἰδὼν αὐτοὺς βασανιζομένους πλησι-
άσαι μὲν οὐκ ἐτόλμησεν· εἰς τόπον δὲ ὑψηλὸν ἀναβὰς
καὶ θεωρῶν. ἐλογίζετο καθ᾿ αὐτὸν ὅτι ποταπῆς ἐπιτυ-
χοῦσι κληρονομίας οἱ ἀδελφοί μου· καὶ δραμὼν μόνος ἐκήρυ-
ξεν ἑαυτὸν χριστιανόν· καὶ κρατήσας τὸν ἄρχοντα, ἔρ-
ριψεν ἀπὸ τοῦ θρόνου· καὶ αὐτὸς ἀπεκεφαλίσθη· Παῦ-
λος δὲ καὶ Παυσίριος ῥιφέντες ἐν τῷ ποταμῷ ἐτελειώθησαν·

349

✝ Μηνὶ τῷ αὐτῷ κε'. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου.

Γρηγόριος ὁ μέγας θεολόγος, ἐγένετο ἀπὸ τῆς χώρας Καππαδοκίας· πόλεως Ναζιανζοῦ· υἱὸς Γρηγορίου καὶ Νόννας· ἐπὶ τῆς βασιλείας Κωνσταντίου υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου· καὶ διήρκεσε μέχρι τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου· γεννηθεὶς δὲ ἐξ αὐτῶν καλῶς καὶ ἀνατραφείς, διὰ μαθημάτων ἐπιθυμίαν παρεγένετο εἰς Καισάρειαν· εἶτα εἰς Ἀλεξάνδρειαν· εἶτα εἰς Ἀθήνας· μανθάνοντος δὲ αὐτοῦ, παρεγένετο καὶ ὁ μέγας Βασίλειος· καὶ συναγωνίζονται ἀμφότεροι εἰς ἀρετὴν καὶ μαθήματα· εἶτα ὑπέστρεψαν εἰς τὴν οἰκείαν πατρίδα· καὶ γὰρ γενόμενος ἐπίσκοπος Σασίμων· εἶτα τοῦ πρὸς αὐτοῦ γηράσαντος, ἐδίδασκεν ἀντ' ἐκείνου· καὶ ἐλειτούργει εἰς Ναζιανζόν· καὶ διὰ τὴν τῶν Ἀρειανῶν μανίαν, εἰσῆλθεν εἰς τὸ Βυζάντιον· καὶ ἐστήριξε τοὺς ὀρθοδόξους διὰ λόγων· καὶ γὰρ γέγονε πατριάρχης Κωνσταντινουπόλεως· εἶτα παραιτησάμενος, ἡσύχασεν ἐν τῷ ἰδίῳ κτήματι· καὶ ἐτελειώθη.

Μηνὶ τῷ αὐτῷ κϛ΄. Ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου καὶ παραδόξου σεισμοῦ·

Εἰς τὰ λ΄ ἔτη τῆς βασιλείας τοῦ μικροῦ Θεοδοσίου· υἱοῦ Ἀρκαδίου καὶ Εὐδοξίας· μηνὶ Ἰαννουαρίῳ εἰκάδι ἕκτῃ· ἐγένετο ἐν Κωνσταντινουπόλει σεισμὸς φοβερός· οἷος οὐκ ἐγένετο ἀφ' οὗ ἐκτίσθη ἡ πόλις μέχρι τότε· ὥστε καὶ τὰ τείχη καταπεσεῖν. Καὶ τὸ πλεῖστον μέρος τῆς πόλεως· οὐ μόνον δὲ σεισμός. καὶ ἄλλας· πόλεις τῆς Θρᾴκης· καὶ τῆς Μακεδονίας· καὶ τῆς Βιθυνίας· κατέρριψε· καὶ ἐπεκράτησε μῆνας τρεῖς· διὰ τοῦτο ὁ βασιλεὺς Θεοδόσιος· μετὰ τοῦ πατριάρχου· καὶ τοῦ κλήρου· καὶ τοῦ λαοῦ παντός. ἀνυπόδετος μετὰ δακρύων λιτανειῶν πρὸς τὸν Θεὸν ἐλθών· ῥῦσαι ἡμᾶς Κύριε τῆς δικαίας σου ὀργῆς καὶ τῶν παραπτωμάτων ἡμῶν. διὰ τῆς μετανοίας· ἐσάλευσας γὰρ τὴν γῆν καὶ συνετάραξας. διὰ τὰς ἁμαρτίας ἡμῶν· ἵνα ἡμῶν φοβουμένεις τὰς καρδίας ἡμῶν. τοῦ δοξάζειν σε τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον· ἐκ τότε οὖν ἑορτάζεται ἡ τοιαύτη ἀνάμνησις:·

✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ξενοφῶντος καὶ τῆς συμβίου αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ Ἀρκαδίου καὶ Ἰωάννου :

Ξενοφῶν ἐν μεγάλοις ὑπῆρχεν ὢν ἐν ἡμῖν συγκλητικὸς ἐν Κωνσταντίνου πόλει· θεοσεβὴς καὶ ἐλεήμων καὶ δίκαιος. Καὶ πᾶσαν ἀρετὴν ἔχων· ἦν δὲ καὶ ἔνδοξος καὶ πλούσιος σφόδρα· γεννήσας δὲ δύο παῖδας Ἀρκάδιον καὶ Ἰωάννην· καὶ ἀναθρέψας αὐτοὺς ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου· ἀπέστειλεν εἰς Βηρυτὸν τὴν πόλιν, ἵνα μάθωσι τοὺς νόμους· εἶχε γὰρ τότε ἡ τοιαύτη πόλις παντοίων μαθημάτων βιβλιοθήκας· ἐπεὶ δὲ κατὰ θάλασσαν ἐναυάγησαν οἱ υἱοὶ αὐτοῦ· μαθὼν τοῦτο παρά τινος τῶν δούλων αὐτοῦ, ἐξῆλθε μετὰ τῆς γυναικὸς αὐτοῦ εἰς τὴν αὐτῶν ἀναζήτησιν· καὶ εὗρον αὐτοὺς ἐν Ἱεροσολύμοις ἐκ τῆς θαλάσσης διαπερασθέντας· καὶ μοναχοὺς γενομένους· καὶ ἀναχωρήσας ἐνεδύθη καὶ αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ τὸ μοναχικὸν σχῆμα· Καὶ ἐπὶ τοσοῦτον προέκοψαν εἰς ἀρετήν, ὡς καὶ θαύματα ἐκτελεῖν καταξιωθῆναι· Καὶ οὕτως ἐτελειώθησαν ἐν κυρίῳ μετὰ τῶν υἱῶν αὐτῶν +

26 Ian. Xenophontis et contubernalis eius et filiorum eius [illegible] et Ioannis

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ. ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΑΝΑΝΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ· ΠΕΤΡΟΥ ΚΛΕΙΔΟΦΥΛΑΚΟΣ· ΚΑΙ ΕΤΕΡΩΝ ΕΠΤΑ ΣΤΡΑΤΙΩΤΩΝ:

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως. καὶ Μαξίμου ἡγεμόνος· ὅτι μὴ Μαξίμῳ παρασταθεὶς ὁ ἅγιος Ἀνανίας, ὁμολογήσας ἑαυτὸν χριστιανὸν εἶναι· καὶ μὴ λιτανεύσας τὰ εἴδωλα. ἐκδυθεὶς τὴν στολὴν, ἰσχυρῶς μετὰ ῥαβδίων· καὶ τὰ ψύα καίεται. διὰ σουβλίων πυρωθέντων· καὶ μετὰ ὄξους καὶ ἅλατος· καὶ τριχίνων ὑφασμάτων κατατρίβεται· εἶτα προσηύξατο. καὶ ἐσείσθη ὁ ναὸς καὶ τὰ εἴδωλα· εἶτα ἐμβληθεὶς εἰς φυλακὴν· καὶ διαμείνας ἄτροφος. ἐπὶ ἑπτὰ ἡμέραις· καὶ ἐτρέφετο παρὰ Χριστοῦ τροφῇ οὐρανίῳ· Καὶ τοῦτο ἰδὼν Πέτρος ὁ κλειδοφύλαξ. προσέπεσεν αὐτῷ καὶ ἐβαπτίσθη· διαδεχθέντος δὲ τοῦ ἡγεμόνος. ἦλθεν ἕτερος ἡγεμὼν Μαξιμῖνος ὀνόματι. καὶ ἐδέθησαν ἐπὶ τροχοῦ οἱ ἅγιοι· εἶτα ἐτέθησαν ἐπὶ ἐσχάρας. ἀλλ' ἐψυχράνθη τὸ πῦρ· καὶ ἰδόντες οἱ τιμωροῦντες αὐτοὺς ἑπτὰ στρατιῶται, ἐπίστευσαν· Καὶ σὺν αὐτοῖς ἐν τῇ θαλάσσῃ ὑπὸ τοῦ δημίου ῥιφέντες, ἐτελειώθησαν:

Jan. 27 Anania presbyteri Petri custodis clavium et septem militum Mar.

Τῇ αὐτῇ ἡμέρᾳ· ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου·

Ἐξορισθεὶς ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἀπῆλθεν εἰς Κώ-
μανα τῆς Ἀρμενίας· ὅπου κατάκειται τὸ λείψανον τοῦ
ἁγίου Βασιλίσκου· ὅστις καὶ ἐφάνη αὐτῷ λέγων· μὴ φο-
βοῦ ἀδελφὲ Ἰωάννη· αὔριον γὰρ ἅμα ἐσόμεθα· ἐφάνη δὲ
καὶ τῷ προσμοναρίῳ λέγων· ἑτοίμασον τὸν τόπον τῷ μεγά-
λῳ μάρτυρι Ἰωάννῃ· ἔρχεται γάρ· ἀλλάξας οὖν λευκὴν στο-
λὴν καὶ λειτουργήσας· καὶ εἰπὼν τὸ ῥῆμα ὃ πάντοτε
ἔλεγε· δόξα τῷ θεῷ πάντων ἕνεκε· παρέδωκε τὸ πνεῦμα·
καὶ κατετέθη πλησίον τοῦ τάφου τοῦ ἁγίου μάρτυ-
ρος Βασιλίσκου· μετὰ δὲ τριάκοντα τρεῖς χρόνους·
διὰ ὑπομνήσεως τοῦ πατριάρχου Πρόκλου· ἀπο-
στείλας ὁ Θεοδόσιος ὁ βασιλεὺς τοῦ ἄρειν τὸ λείψανον·
τῆς λάρνακος μὴ ἀνοιγομένης· ἐλυπήθη· καὶ τότε
γράφει ἐπιστολὴν περιέχουσαν δέησιν· παρακληθῆ-
ναι ἐλθεῖν· καὶ εἰσηκούσθη· ἐλθὸν οὖν τὸ τίμιον λείψα-
νον· ἐτέθη ἐντίμως ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων·

Μηνὶ τῷ αὐτῷ κη. μνήμη τοῦ ὁσίου πρς ἡμῶν Ἐφραὶμ τοῦ σύρου:

ὗτος ἦν [illegible] ἀνατολῶν· σύρος τὸ γένος· ἀπὸ πόλεως ἐδέσσης· γονέων χριστιανῶν· διαρκέσας ἀπὸ τῆς βασιλείας κωνσταντίνου τοῦ μεγάλου· μέχρις οὐάλεντος· ὅτε δὲ ἦν παιδίον· εἶδον οἱ γονεῖς αὐτοῦ κατ' ὄναρ ἄμπελον ἐν τῇ γλώσσῃ αὐτοῦ φυτευθεῖσαν καὶ αὐξηθεῖσαν. καὶ πληρώσασαν πᾶσαν τὴν γῆν· καὶ ἤρχοντο τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἔτρωγον ἐκ τοῦ καρποῦ αὐτῆς· ἡ δὲ ἄμπελος ἐδήλου. τὴν μέλλουσαν δοθῆναι γνῶσιν αὐτῷ· καὶ τοσοῦτον γέγονεν εἰς ἀρετὴν περιβόητος. ὡς πολλοὺς ὠφελῆσαι· ἐλθὼν δὲ καὶ πρὸς τὸν μέγαν βασίλειον ἐν Καισαρείᾳ. ἐχειροτονήθη [illegible] ἐκείνου πρεσβύτερος· καὶ ἅμα τῷ χειροτονηθῆναι. ἐλάλησεν ἑλληνιστὶ· πρότερον συριστὶ λαλῶν· ἔπειτα συγγράψας λόγους ψυχωφελεῖς· καὶ πολλοὺς διδάξας καὶ ὠφελήσας. ἐν μακαρίῳ τῷ γήρᾳ εὐχαριστῶν πρὸς θεὸν ἐξεδήμησεν:

244

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ. Η ΑΝΑΚΟΜΙΔΗ ΤΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΙΓΝΑΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ·

Ὁ μακάριος ἰγνάτιος ὁ θεοφόρος· ὑπὸ τραϊανοῦ βασιλέως, ἀπὸ ἀντιοχείας πρὸς τὴν ῥώμην πεμφθεὶς τῆς εἰς χ(ριστὸ)ν ἕνεκεν μαρτυρίας, ἐθηριομάχησεν· ὑπὸ λεόντων ἀναιρεθείς· τῆς συγκλήτου πάσης ἑστώσης ἐν τῷ θεάτρῳ καὶ θεωρούσης· ὅπερ ἦν διὰ προσευχῆς τῷ ἁγίῳ· ἔλεγε γὰρ ὅτι κἂν θέλημεν ὑπὸ θηρίων ἀναλωθῆναι. οὐκ ἀρνήσομαι τὸν χ(ριστό)ν μου· ἀλλ' ἐπιθυμῶ ὑπὸ ὀδόντων θηρίων ἀλεσθῆναι. ἵνα καθαρὸς ἄρτος φανῶ τῷ θ(ε)ῷ μου· ὅτε δὲ ἀπελύθησαν ὅπαντον οἱ λέοντες καὶ ἀπέπνιξαν αὐτόν. ἤρθη τὸ λείψανον αὐτοῦ παρὰ τῶν χριστιανῶν· καὶ μετὰ τιμῆς ἀπὸ τῆς ῥώμης ἀνεκομίσθη εἰς ἀντιόχειαν· τῆς πόλεως ἁπάσης ὑπαντησάσης μετὰ κηρῶν καὶ θυμιαμάτων· καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πν(ευματ)ικαῖς κατατεθὲν μένει ἐν αὐτῇ τῇ πόλει· ἐν τιμίως καὶ μεγαλοπρεπῶς. εἰς φυλακτήριον αὐτῆς καὶ ἀσφάλειαν·

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Σαρβήλου ἱερέως καὶ τῆς ἀδελφῆς αὐτοῦ Βαβαίας.

...νοι ὑπῆρχον ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως· ἦν δὲ ὁ ἅγιος
Σάρβηλος ἱερεὺς τῶν εἰδώλων· ἑορτῆς δὲ ἀγομένης
τοῖς δαίμοσιν· αὐτὸς κατὰ τὸ ἔθος ἐπετέλει τὰς μια-
ρὰς θυσίας. Ἐλεγχθεὶς δὲ παρὰ Βαρσιμαίου τοῦ ἐπι-
σκόπου Ἐδέσσης· καὶ ὀνειδισθεὶς ὡς ἡγούμενος τοῖς
πολλοῖς αἴτιος ἀπωλείας· μεταγνοὺς τῇ τοῦ Θεοῦ χά-
ριτι· καὶ τοῖς λόγοις τοῦ ἐπισκόπου πεισθείς· προσῆλ-
θε τῇ τοῦ Χριστοῦ πίστει μετὰ τῆς ἰδίας ἀδελφῆς Βαβαί-
ας· καὶ βαπτίζονται ὑπὸ τοῦ ἐπισκόπου· ἰδὼν
δὲ ταῦτα ὁ Λυσίας, ἐκράτησεν αὐτὸν καὶ ἤρξατο τι-
μωρεῖν· καὶ πρῶτον μὲν τύπτεσθαι μετὰ ῥαβδίων·
ἔπειτα σπαθίζεσθαι· καὶ τὸ πρόσωπον ξέεσθαι· καὶ
πυρὶ καταφλέγεσθαι· εἶτα ἐμβληθεὶς εἰς δύο ξύ-
λα μέσον· καὶ πρίζεσθαι ὑπὸ τῶν δημίων· καὶ τέλος
ἀπεκεφαλίσθη· ὁμοίως καὶ ἡ ἀδελφὴ αὐτοῦ, ἔπειτα
πρότερον βασανισθεῖσα, ὕστερον ἀπεκεφαλίσθη.

347

✠ Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος
Ἱππολύτου πάπα· καὶ τῶν σὺν αὐτῷ [illegible]

Ἡ ἱερὰ οὖν ὁδία τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου· ὑπῆρ-
χεν ἐπὶ τῆς βασιλείας Κλαυδίου· ἡγεμονεύοντος Οὐικα-
ρίου· καὶ ὁ μὲν ἦν κενόσοφος μάλα φρονῶν· καὶ τῷ βασιλεῖ
ἀρεσκόμενος· ὁμῶς ἐσέβετο τὸν Χριστόν· καὶ τοὺς χριστιανοὺς
ἐξεδίκει· ἀλλὰ λοιδορηθεὶς· ἀπεκλείσθη ἐν τῇ φυ-
λακῇ· ἔνθα θαυματουργήσας· καὶ νεκρὸν ἀναστήσας.
ἔπεισε πάντας τοὺς στρατιώτας πιστεῦσαι τῷ Χριστῷ·
οἵτινες προφάσει τοῦ τυράννου ἀπεκεφαλίσθησαν·
Καὶ σὺν αὐτοῖς ἡ μακαρία Χρυσῆ· καὶ ὁ ταύτης ἐπιτρ-
οπος Σάβινος· ταῦτα μαθὼν ὁ πάπας Ἱππόλυτος· καὶ ζη-
λωθεὶς κινηθείς· ἦλθε κατὰ πρόσωπον καὶ ἤλεγξε τὸν
τύραννον· ὁ δὲ ὑπερζέσας τῷ θυμῷ· πρῶτον μὲν ἰσχυρῶς
αὐτὸν ἐβασάνισε· μετὰ τῶν ἀκολούθων τῶν αὐτοῦ πρεσβυ-
τέρων καὶ διακόνων. καὶ τοῦ ἐπισκόπου· ἔπειτα δήσας
αὐτῶν τὰς χεῖρας καὶ τοὺς πόδας εἰς λίθους βαρεῖς· τῷ βυ-
θῷ τῆς θαλάσσης ἐνέρριψε· Καὶ οὕτως ἐτελειώθησαν·

29 Jan. Hippolyt. [illegible]

348

Μηνὶ ἰανουαρίῳ λ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος
Βαρσιμαίου τοῦ ἐπισκόπου. τοῦ βαπτίσαντος τὸν
ἅγιον Σαρβήλιον·

Οὗτος ὁ ἱερομάρτυς Βαρσιμαῖος, ὡς ἡ προγραφή, ἐπίσκοπος
ἦν τῆς ἐν Ἐδέσῃ ἐκκλησίας· διδάσκων τὸν λαὸν τῶν
Ἑλλήνων· καὶ ἐπιστρέφων ἀπὸ τῆς πλάνης τῶν
εἰδώλων. καὶ βαπτίζων εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· βαπτίσας δὲ πολλούς.
εἶδε καὶ Σαρβήλιον τὸν ἱερέα τῶν εἰδώλων θύοντα
τοῖς εἰδώλοις. καὶ ὡμίλησε καὶ ἐπέστρεψεν αὐτόν.
εἰπὼν ὅτι σὺ μόνος διαστρέφεις ὅλον τὸν λαόν· κα-
ταμηνυθέντος δὲ ἐκείνου καὶ βαπτισθέντος παρὰ
τοῦ ἐπισκόπου· καὶ μαρτυρήσαντος ὑπὲρ Χριστοῦ με-
τὰ τῆς ἀδελφῆς αὐτοῦ Βαβαίας. διεγνώσθη ὁ ἐπί-
σκοπος. καὶ παρέστη τῷ ἡγεμόνι Λυσίᾳ· καὶ ἐτύφθη
σφοδρῶς· εἶτα παυσαμένου μικρὸν τοῦ διωγμοῦ.
ἐξῆλθε τῆς φυλακῆς· καὶ ἐν τῇ ἰδίᾳ γενόμενος
ἐκκλησίᾳ· καὶ τὸ ἔθος συνήθως διὰ πάσης ἀρετῆς ἐ-
ργασίας. ἐτελειώθη· ἀπολαύων τὴν αἰώνιον ζωήν·

30 Jan Barsimaei Epi Mart.

359

Τῇ αὐτῇ ἡμέρᾳ. Ἄθλησις τοῦ ἁγίου Θεοφίλου τοῦ νέου.

Οὗτος ὑπῆρχεν ἀπὸ Κωνσταντινουπόλεως ἐπὶ τῆς
βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῶν ὀρθοδό-
ξων βασιλέων. εἷς τῆς συγκλήτου· στρατηγὸς δὲ
ἀποσταλεὶς ὑπὸ τῶν βασιλέων εἰς τὸ θέμα τῶν
Κιβυρραιωτῶν· στόλου σαρακηνικοῦ φανέντος. πα-
ρετάξατο πρὸς τὸ πολεμῆσαι· ἔχων δὲ συμπολεμι-
στὰς καὶ ἄλλους τρεῖς στρατηγούς. ὅμως πρῶτος ὥρ-
μησε μετὰ τοῦ ἰδίου δρόμωνος. καὶ εἰσελθὼν μέσον
τῶν σαρακηνῶν καὶ λίαν ἀνδραγαθήσας· ἰδόντες δὲ
οἱ ἕτεροι στρατηγοὶ. ἐφθόνησαν· καὶ ἐνεργῶς φυ-
γόντες. ἀφῆκαν αὐτὸν μόνον· τότε περικυκλώσαντες
οἱ σαρακηνοὶ. ἐκράτησαν αὐτόν· καὶ ὑποστρέ-
ψαντες. ἔβαλον αὐτὸν εἰς φυλακήν· καὶ μετὰ τέσσα-
ρα ἔτη ἐκβαλόντες αὐτόν. κατηνάγκασαν ἀρνήσα-
σθαι τὸν χριστιανισμὸν καὶ μαγαρίσαι· ὡς δὲ οὐκ ἔ-
πεισαν. ἀπεκεφάλισαν αὐτόν· καὶ οὕτως ἐτελειώθη·

τοῦ ταντοῦ

Jan 30 Theophili Junioris (ὁ νεώτερος)

✠ Μηνὶ τῷ αὐτῷ λα'. Ἄθλησις τῶν ἁγίων καὶ θαυματουργῶν Κύρου καὶ Ἰωάννου.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ
ὁ μὲν ἅγιος Κῦρος, ἦν ἀπὸ τῆς Ἀλεξανδρείας ἰατρὸς
τὴν τέχνην· ἰατρεύων δὲ δωρεάν. ἐν ταυτῷ ἐδίδα-
σκε καὶ τὴν εἰς Χριστὸν πίστιν. διαβληθεὶς δὲ τῷ τῆς
πόλεως ἄρχοντι· καὶ φοβηθείς, φεύγει εἰς Ἀραβίαν·
καὶ γίνεται μοναχός· καὶ εὑρὼν τόπον πλησίον θαλάσ-
σης, κατῴκησεν ἐκεῖ. ὁ δὲ ἅγιος Ἰωάννης ἀπῆλθεν
εἰς τὰ Ἱεροσόλυμα· καὶ ἀκούσας περὶ τῶν θαυμα-
τουργιῶν τοῦ ἁγίου Κύρου, ἀπῆλθε καὶ ἦν μετ' αὐτοῦ.
Κρατηθείσης δὲ γυναικός τινος χριστιανῆς ὀνόματι
Ἀθανασίας· μετὰ τῶν τριῶν αὐτῆς θυγατέρων· Θεο-
δότης· Θεοκτίστης· καὶ Εὐδοξίας· παρ[illegible] ἄρχοντος·
καὶ μὴ θελούσης βασανίζεσθαι· φοβηθέντες οἱ ἅγιοι· ἵνα
μὴ ὡς γυνὴ δειλιάσῃ, ἀπῆλθον καὶ ἐθαρσοποίουν αὐ-
τήν. διὰ τοῦτο κρατηθέντες, μετὰ πολλὰς βασά-
νους καὶ τιμωρίας, καὶ αὐτοὶ ἀπεκεφαλίσθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ· ἄθλησις τοῦ ἁγίου μάρτυρος
Οὐϊκτωρίνου· καὶ τῶν σὺν αὐτῷ ἓξ ἁγίων·

Ἐπὶ δεκίου τοῦ βασιλέως· ὑπῆρχον οὗτοι ἐκ πόλεως
Κορίνθου· κρατηθέντες δέ· παρεδόθησαν τερτίω τῷ
ὑπάτω· καὶ ἐβασανίσθησαν ἰσχυρῶς· ὁ μὲν γὰρ οὐϊ
κτωρῖνος· τὸν δεξιὸν ὀφθαλμὸν ἐξορυγεὶς· καὶ χεῖ
ρας καὶ πόδας ἀποκοπεὶς· καὶ εἰς ἰγδὴν ἐμβληθεὶς
λιθίνην μεγάλην καὶ συντριβεὶς, ἐτελεύτησεν· οὐϊκτῶρ
δέ· τὴν γλῶσσαν ἐκτμηθεὶς· καὶ εἰς τέσσαρας πασ
σάλοις δεθεὶς· εἶτα ἐν τῇ ἰγδῇ συνθλασθεὶς· ἐτελειώθη·
νικηφόρος δὲ ἀποπνιγεὶς ἕως οὗ ἐξέβη αἷμα ἐκ
τῆς ῥινὸς αὐτοῦ· καὶ ἐκ τριχῶν κρεμασθεὶς· καὶ ἐν τῇ
αὐτῇ ἰγδῇ ἐμβληθεὶς· καὶ τυπτηθεὶς· παρέδωκε τὸ
πνεῦμα· ὁ δὲ κλαυδιανὸς κοπεὶς χεῖρας καὶ πόδας καὶ
κρεμασθεὶς· ἀπέθανε τοῦ ὕψους· ὁ δὲ διόδωρος πυρὶ
τελειοῦται· σαραπίων δὲ κατὰ κεφαλῆς κρεμα
σθεὶς· ἀπεκεφαλίσθη· παπίας δὲ μετὰ τὸ κοπῆναι
χεῖρας καὶ πόδας· λίθον προσδεθεὶς· εἰς βυθὸν ῥίπτεται·

31 [illegible]

✠ ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΑΘΛΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ
ΤΡΥΦΑΙΝΗΣ·

Τρύφαινα ἡ τοῦ Χ(ριστο)ῦ μάρτυς· ὑπῆρχε μὲν ἐκ τῆς πόλεως
Κυζίκου· ἦν δὲ θυγάτηρ Ἀναστασίου συγκλητικοῦ Ἕλλη-
νος. καὶ Σωκρατίας χριστιανῆς· χριστιανὴ δὲ οὖσα, ἑορτῆς
ἐπιτελουμένης τοῖς εἰδώλοις· ζήλῳ θείῳ κινηθεῖσα·
Καὶ εἰς μέσον τοῦ λαοῦ εἰσελθοῦσα. τὰ ἀχραντῶν ἑλλή-
νων διέπτυσε· καὶ τοὺς ἐμπέπτοντας αὐτὰ καθημέριον ἐ-
δίδασκε τὰ μὲν εἴδωλα ἀρνήσασθαι. προσελθεῖν δὲ
Χ(ριστ)ῷ καὶ βαπτισθῆναι· διὰ τοῦτο τῇ προστάξει τοῦ ἡγε-
μόνος Καισαρίου κρατηθεῖσα. ἐνεβλήθη εἰς κάμινον·
Καὶ τῆς καμίνου ῥυσθεῖσα. ἐκρεμάσθη ἐπὶ ξύλου κάτω-
κειμένων σιδηρῶν ἥλων ὀξέων· καὶ ἀπολυθεῖσα τοῦ
ξύλου· ἐπεβιβάσθη ἐπάνω τῶν ἥλων. καὶ ὠδυνήθη λίαν
ἰσχυρῶς· εἶτα ἀπολυθέντων ἐπ' αὐτὴν θηρίων διαφό-
ρων· τὰ μὲν ἄλλα οὐ προσήγγισαν αὐτῇ· εἷς δὲ ταῦρος
δραμὼν καὶ διακερατίσας αὐτήν. διέσχισεν εἰς μέσον·
Καὶ εὐθέως ἀφῆκε τὴν ψυχήν· κ(αὶ) οὕτως ἐτάφη ὑπὸ τῶν πιστῶν:

31 Jan. Tryfenes S.te Mart. Cizicae

❋ Μηνὶ Φεβρουαρίῳ α΄. Ἄθλησις τοῦ ἁγίου μάρ-τυρος Τρύφωνος.

Τρύφων ὁ μάρτυς ὑπῆρχε μὲν ἀπὸ τῆς χώρας Φρυγίας· ἐπὶ
τῆς βασιλείας Γορδιανοῦ· μικρὸς δὲ ὢν τὴν ἡλικίαν.
ἔβοσκε χῆνας· ἀλλ᾽ ὅμως καίτοι χῆνας βόσκων. ἀρετῆς
ἐπεμελεῖτο· καὶ διὰ τῆς τῶν ἐντολῶν ἐργασίας. μᾶλ-
λον ἐθεράπευε τὸν θεόν· διὰ τοῦτο ἐδέξατο χαρίσματα
ἰαμάτων. καὶ ἐθεράπευε πᾶσαν νόσον καὶ πᾶσαν μα-
λακίαν· ἰάσατο δὲ καὶ τὴν θυγατέρα τοῦ βασιλέως.
δαίμονα ἔχουσαν· καὶ ὑπέδειξε τοῖς παροῦσι τὸν δαίμο-
να. μορφὴν ἔχοντα μαύρου κυνός· καὶ ἐξομολογούμενον
τὰς κακίας πράξεις αὐτοῦ· ὅτε καὶ πολλοὺς ἔπεισε
πιστεῦσαι τῷ Χριστῷ· ἐπὶ δὲ τῆς βασιλείας Δεκίου ἐκρα-
τήθη παρὰ Ἀκυλίνου τοῦ ἐπάρχου. καὶ ἤχθη δέσμι-
ος εἰς Νίκαιαν· καὶ πρῶτον μὲν προσδεθεὶς ἵπποις ἀγρί-
οις σύρεται κατὰ δυσβάτων τόπων ὥρᾳ χειμῶνος· ἔπει-
τα γυμνὸς ἐπάνω σιδηρῶν ἥλων τίθεται· εἶτα διὰ λαμπάδων
πυρὸς κατακαίεται τὰς πλευράς· τὴν κεφαλὴν ἀποτέμνεται.

1 Februar

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βενδιμιανοῦ, μαθητοῦ τοῦ ἁγίου Αὐξεντίου:

Ὁ ὅσιος καὶ μέγας πατὴρ ἡμῶν Βενδιμιανὸς, ἐγένετο μαθητὴς τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου. τοῦ ἐν τῷ ὄρει ἡσυχάσαντος τοῦ διακειμένου μὲν πλησίον Χαλκηδόνος· ὀνομαζομένου δὲ τῆς Ὀξείας· δουλεύσας αὐτῷ πολλὰ καὶ ὑποταγεὶς ὡς πρέπει ἁγίοις· καὶ κληρονομήσας τὴν ἁγίαν αὐχλῖναν ἐκείνου· πολλὰ δὲ ἀγωνιζόμενος εἰς ἀρετήν. οὐκ ἠρκέσθη τούτοις· ἀλλὰ μετὰ τὴν κοίμησιν τοῦ ἁγίου· ἀρὼν διάκουφον πέτραν πλησίον τῆς μάνδρας τοῦ ἁγίου· καὶ ἐπικτίσας ἐκ τῶν δύο μερῶν τῆς πέτρας· καὶ ποιήσας μικρὸν κελλίον. ἀπέκλεισεν ἑαυτὸν ἐκεῖ· καὶ ἐνῴκησεν ἀγωνιζόμενος ἔτη τεσσαράκοντα δύο· ἐδέξατο δὲ καὶ χαρίσματα ἰαμάτων. καὶ ἰᾶτο τοὺς προσερχομένους αὐτῷ ἀσθενοῦντας καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα· ὑπέμεινε δὲ καὶ πολλοὺς πειρασμοὺς ἐκ τῶν δαιμόνων· προγνοὺς δὲ τὸν αὐτοῦ θάνατον. διηγήσατο τὸ μνημεῖον τοῦ ἁγίου Αὐξεντίου τὸ μέλλον τι αὐτὸν συγγράψασθαι ἐγγραφεῖ· καὶ οὕτω κλίνας τὰ γόνατα παρέδωκε τὸ πνεῦμα:

14 Feb Vendimiani discipuli s. Auxentii p. n

✠ Μηνὶ τῷ αὐτῷ β΄. ἡ ὑπαπαντὴ τοῦ κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ
Χ(ριστο)ῦ· ὅτε ἐδέξατο αὐτὸν Συμεὼν ὁ πρεσβύτης ἐν ταῖς
ἀγκάλαις αὐτοῦ.

[illegible] τὴν ἔνσαρκον οἰκονομίαν ὁ κ(ύριο)ς ἡμῶν Ἰ(ησοῦ)ς Χ(ριστό)ς·
ὅτι κατὰ ἀλήθειαν ἄνθρωπος ἐγένετο, πάντα τὰ τοῦ ἰουδαϊκοῦ νό-
μου ποιήσας, οὐδὲ τοῦτο παρέλιπεν· ἀλλ' ἐποίησε καθὼς
ἦν ἔθος τοῖς ἰουδαίοις· μετὰ γὰρ τὰς σαράκοντα ἡμέρας·
πᾶν παιδίον τῶν ἑβραίων, ἔφερον οἱ γονεῖς εἰς τὸ ἱερὸν μετὰ
τῶν δύο τρυγόνων· ἢ δύο νεοσσῶν περιστερῶν. τοῦ εὐλο-
γεῖσθαι· τοῦτο δὲ καὶ ὁ κ(ύριο)ς ἡμῶν Ἰ(ησοῦ)ς Χ(ριστὸ)ς ἐποίησε· καὶ παρὰ
τῆς κατὰ ἀλήθειαν μ(ητ)ρὸς αὐτοῦ μαρίας τῆς θ(εοτό)κου· καὶ
τοῦ νομιζομένου π(ατ)ρὸς ἰωσήφ. ἠνέχθη εἰς τὸν ναὸν τοῦ
θ(εο)ῦ· καὶ ὑπεδέχθη παρὰ συμεὼν τοῦ δικαίου· ὃς ἐδέ-
ξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εἶπε· νῦν ἀπο-
λύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν
εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου·
ὁμοίως δὲ καὶ ἡ ἄννα ἡ προφῆτις οὖσα ἀνθωμολογή-
σατο καὶ ἐχαρίστησε τῷ θ(ε)ῷ· τῷ ἐπισκεψαμένῳ τὸν λαὸν
αὐτοῦ· ἐκ τότε οὖν ἐπιτελεῖται ἡ τοιαύτη θεία ἑορτή:·

2 Feb. Occursionis D. [illegible]

✠ Τῇ αὐτῇ ἡμέρᾳ ε΄. ἄθλησις τῶν ἁγίων Περπετούας· Σατύρου· Ῥευκάτου· Σατορνίλου· Σεκούνδου· καὶ Φιληκιτάτης ∴

Ἡ τοῦ Χριστοῦ μάρτυς Περπετούα. ἦν μὲν ἐκ τῆς χώρας Ἀφρικῆς· ἐπεὶ δὲ τὸν Χριστὸν ὡμολόγει· κρατηθεῖσα παρὰ τῶν ἐθνικῶν· προσήχθη τῷ τῆς χώρας ἄρχοντι. μετὰ τῶν λοιπῶν ἁγίων· ἦν δὲ τῇ ἡλικίᾳ νέα· καὶ βρέφος ὀνομάζιον· καὶ ἀδελφὸς ὀνόματι Δεινοκράτης· τιμωρηθέντες οὖν παρὰ τοῦ ἄρχοντος· εἶτα ἐμβάλλονται εἰς φυλακήν· καὶ θεωρεῖ ἡ ἁγία κλίμακα τὸ μαρ σκάλαν χαλκῆν. φθάνουσαν ἀπὸ γῆς εἰς οὐρανόν· ἔχουσαν εἰς τὰ δύο μέρη ἐμπεπηγμένα πάντα τὰ τῶν κολαστηρίων εἴδη· καὶ δράκοντα ὑπὸ τὴν σκάλαν. κωλύοντα τοὺς ἀναβαίνοντας· καὶ τὸν ἅγιον Σάτυρον ἀναβάντα καὶ στραφέντα πρὸς αὐτὴν καὶ λέγοντα· μὴ τρέμου Περπετούα περιμένω σε· ἦν δὲ καὶ ὁ ἀδελφὸς αὐτῆς ἐν ἑτέρᾳ φυλακῇ· καὶ ὁρᾷ καὶ περὶ αὐτοῦ ὅτι παρίστατο λεκάνῃ ὕδατος· καὶ ἀντλῶν ἐπίνεν ὑπὲρ αὐτῆς· καὶ ἔγνω ὅτι ἐλευθερώθη· καὶ τὸ πέρας αὐτὴ μὲν μετὰ τῆς Φιληκιτάτης ὑπὸ δαμάλεως ἀγρίου κερατισθεῖσαι. ἀπέθανον· οἱ δὲ λοιποὶ ἐσφάγησαν ∴

Perpetua Satyri Revocati Saturnini secundi felicitatis Mart.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ. ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΣΥΜΕΩΝ ΤΟΥ ΔΕΞΑΜΕΝΟΥ ΤΟΝ ΚΝ ΕΝ ΤΑΙΣ ΑΓΚΑΛΑΙΣ ΑΥΤΟΥ ΚΑΙ ΑΝΝΗΣ ΤΗΣ ΠΡΟΦΗΤΙΔΟΣ

πρεσβύτης ὁ συμεὼν ἦν δίκαιος καὶ εὐλαβής. ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ. προσδεχόμενος δὲ ἐν τῷ ἱερῷ καὶ παρακαλῶν τὸν θεὸν ἵνα βλέψῃ τὸν κόσμον αὐτοῦ. καὶ λύτρωσιν ταῖς ψυχαῖς ἐκ τοῦ διαβόλου. ἤκουσε παρὰ τοῦ ἀγγέλου μὴ ἀποθανεῖν ἕως οὗ ἴδῃ τὸν χριστὸν κυρίου τὸν μέλλοντα σῶσαι τὴν οἰκουμένην. ὁμοίως καὶ ἡ ἄννα ἡ προφῆτις προσδεχομένη. ἐδέξατο καὶ αὐτὴ τοιαύτην δόξαν. πληρωθέντων δὲ τεσσαράκοντα ἡμερῶν ἀπὸ τῆς γεννήσεως τοῦ χριστοῦ. ἤγαγον οἱ γονεῖς τὸ παιδίον ἰησοῦν εἰς τὸ ἱερόν. κατὰ τὴν διάταξιν τοῦ νόμου. καὶ κρατήσας αὐτὸν ὁ συμεὼν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ. εἶπε· νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου. καὶ προφητεύσας περὶ τοῦ θανάτου τοῦ χριστοῦ. καὶ περὶ τοῦ σταυροῦ καὶ τῆς θεοτόκου ὅτι λυπηθήσεται ἰδοῦσα τὸν υἱὸν ἐν σταυρῷ. ἐκοιμήθη. ὁμοίως καὶ ἡ ἄννα εὐχαριστήσασα τέλος ἔσχε τοῦ βίου.

3 Feb. Simeones et Anna [illegible]

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀδριανοῦ καὶ Εὐβούλου, μαρτυρησάντων ἐν Καισαρείᾳ.

Ἀδριανὸς καὶ Εὔβουλος οἱ τοῦ Χριστοῦ μάρτυρες, ἦσαν ἀπὸ χώρας Μανβέας ὀνομαζομένης· εἶχον δὲ ἔθος ὁμοῦ χριστιανοὶ καὶ εὐλαβεῖς, πρὸς τοὺς μάρτυρας καὶ τοὺς ὁμολογητὰς τοῦ Χριστοῦ· καὶ διὰ τοῦτο ἀπῆλθον εἰς Καισάρειαν, ἵνα ἐπισκέπτωνται τοὺς ἐν ταῖς φυλακαῖς κολαζομένους ἁγίους· καὶ ἀπελθόντες, ἐπεσκέπτοντο αὐτούς· καὶ παρεμυθοῦντο καὶ προθύμους ἐποίουν· ἀλλὰ καὶ τοὺς Ἕλληνας ἐδίδασκον τὸν λόγον τοῦ Χριστοῦ. καὶ πολλοὺς ἐξ αὐτῶν ἐβάπτιζον· καὶ διαγνωσθέντες ἐκρατήθησαν. καὶ παρεδόθησαν Φιρμιλιανῷ τῷ ἄρχοντι· καὶ ἐτύφθησαν ἰσχυρῶς· καὶ τὰς πλευρὰς μετὰ πυρὸς κατεκάησαν· εἶτα ἀπελύθησαν ἐπ' αὐτοὺς λέοντες. καὶ οὐκ ἠδίκησαν αὐτούς· ἀλλ' ἀπελθόντες οἱ λέοντες καὶ προσκυνήσαντες αὐτούς, ἔλειχον τοὺς πόδας αὐτῶν· τότε ὀργισθεὶς ὁ ἄρχων καὶ τῷ θυμῷ ὑπερζέσας, ἀπεκεφάλισεν αὐτούς· καὶ οὕτως ἐτελειώθησαν.

✠ μηνὶ τῷ αὐτῷ δ. ἄθλησις τῶν ἁγίων μαρ-
τύρων Παπίᾳ, Διοδώρου, καὶ Κλαυδιανοῦ·

Παπίας Διόδωρος καὶ Κλαυδιανὸς οἱ ἅγιοι μάρτυρες τοῦ χῦ.
ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως· ἐκ τῆς πόλεως Ἀτ-
ταλείας. τῆς Παμφύλων ἐπαρχίας· ὄντες δὲ εἰς τὴν
ἰδίαν χώραν κτήμη διάφορα. ὅμως χριστιανοὶ ἦσαν καὶ
ἐδίδασκον περὶ τοῦ χῦ τοὺς Ἕλληνας. καὶ ἐπέστρεφον
πολλοὺς πρὸς αὐτόν· διαβληθέντες δέ, ἐκρατήθησαν
ὑπὸ Πουπλίου τοῦ ἄρχοντος τῆς Παμφυλίας· καὶ ἐ-
ρωτηθέντες, ὡμολόγησαν παρρησίᾳ τὸ ὄνομα τοῦ χῦ
τοῦ ἀληθινοῦ θῦ ἡμῶν· καὶ ἐδίδαξαν ὅτι αὐτός ἐστιν
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασ-
σαν. καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ πλὴν αὐτοῦ ἄλλος
θεὸς οὐκ ἔστι· ταῦτα ἀκούσας ὁ ἡγεμὼν καὶ χολέσας· ἐτι-
μωρήσατο αὐτοὺς ἰσχυρῶς· ὡς δὲ οὐκ ἔπεισεν ἀρνή-
σασθαι τὸν χῦ. ξίφει τὰς κεφαλὰς αὐτῶν ἀπέτεμε·
Καὶ οὕτως τελειωθέντες. ἐτάφησαν ὑπὸ τῶν χρι-
στιανῶν ἐντίμως. εἰς δόξαν χῦ τοῦ θῦ ἡμῶν +

4 Feb. Papiæ Diodori, et Claudiani Mart.

τῆ αὐτῆ ἡμέρα. μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Κλαυδίου :

371 ✠ Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἰσιδώρου τοῦ Πηλουσιώτου.

Οὗτος ὁ ἅγιος, αἰγύπτιος ἐγένετο· ἀπὸ πόλεως Πηλου-
σίου λεγομένης· υἱὸς εὐγενῶν καὶ εὐσεβῶν γονέων· συγ-
γενεῖς δὲ ἔχων Θεόφιλον καὶ Κύριλλον τοὺς τῆς Ἀλεξαν-
δρείας ἐπισκόπους. ἔμαθεν οὐ μόνον τὰ ἱερὰ γράμ-
ματα τῆς θείας γραφῆς· ἀλλὰ καὶ τῆς ἔξω. καὶ γέγονε σο-
φός· ἀγαπήσας δὲ τὸν Θεὸν πλεῖον τοῦ κόσμου. κατέ-
λιπε καὶ γονεῖς· καὶ πλοῦτον καὶ δόξαν. καὶ κατέλα-
βε τὸ ὄρος τὸ πλησίον κείμενον τοῦ Πηλουσίου. καὶ
γέγονε μοναχὸς ἐκεῖ καὶ ἡσυχάζων· καὶ τῷ Θεῷ προσευ-
χόμενος· καὶ τὰς ἁγίας γραφὰς ἐκμελετῶν. τὴν οἰκουμένην
ἅπασαν διὰ τῶν ἐπιστολῶν κατεφώτισε· πᾶσαν γρα-
φὴν δι' αὐτῶν ἑρμηνεύσας. καὶ πολλοὺς διορθώσας καὶ
ἐναρέτους ἐργασάμενος· οὐ μόνον γὰρ ἰδιώτας ὠφέ-
λει διὰ τῆς διδασκαλίας τῶν ἐπιστολῶν αὐτοῦ, ἀλλὰ
καὶ ἄρχοντας καὶ ἐπισκόπους. καὶ βασιλεῖς· δέκα δὲ
χιλιάδας γράψας ἐπιστολὰς· ἱκανῶς ὠφελήσας ἐκοιμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀβραμίου τοῦ Πέρσου ÷

Ἀβράμιος ὁ ἱερομάρτυς. ὑπῆρχεν ἐπίσκοπος μιᾶς πόλε-
ως τῶν μερῶν περσίδος. ἐπὶ σαβωρίου τοῦ περσῶν τυράννου μὲν
μάγων καὶ βασιλέως· λοιδορηθεὶς δὲ καὶ διασυρθεὶς
περὶ αὐτῶν τὸ πῦρ καὶ τὸν ἥλιον σεβομένων ὡς μάγων· ὅτι
τὸν χριστὸν πιστεύει καὶ αὐτὸν σέβεται. ἐκρατήθη· καὶ δε-
θεὶς δεσμοῖς σιδηροῖς. προσήχθη τῷ ἀρχιμάγῳ· καὶ
ὑπ' ἐκείνου ἠναγκάσθη ἀρνήσασθαι τὸν χριστόν. καὶ προσ-
κυνῆσαι τοῖς κτίσμασι τῷ ἡλίῳ καὶ τῷ πυρί· ταῦτα γὰρ
εἶχον ὡς θεοὺς οἱ πεπλανημένοι πέρσαι· ὡς δὲ οὐκ ἐ-
πείσθη. μυρίαις ὑπεβλήθη τιμωρίαις· καὶ κατὰ
μίαν μικρὰν ὥραν. ἐπεκαλεῖτο τὸν χριστὸν καὶ ἔλεγεν· κύριε ἰησοῦ χριστὲ
ὁ θεός. βοήθει μοι τῷ δούλῳ σου. ὅτι ἐπὶ σοὶ πέποιθεν
ἡ ψυχή μου· καὶ ὅτε ἐρρύσθη τῆς βασάνου. ἀπε-
κλείετο ἐν τῇ φυλακῇ· καὶ πάλιν ἐκ τῆς φυλα-
κῆς ἐκκαλούμενος. ἐβασανίζετο· καὶ τελευ-
ταῖον. τῷ θεῷ εὐχαριστῶν ἀπεκεφαλίσθη ÷ +

Μηνὶ τῷ αὐτῷ ε'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀγάθης.

Ἡ μάρτυς τοῦ Χριστοῦ Ἀγάθη, ἐγένετο ἐκ τῆς πόλεως Πανόρμου τῆς ἐν Σικελίᾳ· εὔμορφος πάνυ καὶ ὡραία· ἦν δὲ καὶ εὐγενὴς καὶ πλουσία. καὶ τὸν Θεὸν φοβουμένη· ἐπὶ δὲ τῆς βασιλείας τοῦ παρανόμου Δεκίου κρατηθεῖσα. ὑπὸ τῆς χώρας ἡγεμόνι προσάγεται· καὶ παραδίδοται Ἀφροδισίᾳ τινὶ γυναικί. ἵνα μετὰ πραότητος πείσῃ αὐτὴν ἀρνήσασθαι τὸν Χριστόν. καὶ προσκυνῆσαι τοῖς εἰδώλοις· ὡς δὲ οὐκ ἐπείσθη· ἀλλὰ μᾶλλον ἤθελεν ὑπὲρ τοῦ Χριστοῦ ἀποθανεῖν. τύπτεται ἰσχυρῶς· καὶ τὸν ἕνα τῶν μαστῶν ἐκκόπτεται· ἀλλ' ἐλθὼν ἐν τῇ φυλακῇ διὰ τῆς νυκτὸς ὁ ἅγιος Πέτρος ὁ ἀπόστολος· Θεοῦ χάριτι τὸν ἐκκοπέντα μαστὸν ὑγιῆ ἐποίησεν· εἶτα ἐξελθοῦσα τῆς φυλακῆς· ἐπάνω κεκομμένων ὀστράκων σύρεται· καὶ μετὰ τ[illegible] διὰ πυρὸς καταφλέγεται· ὡς δὲ ἐκ τοῦ πυρὸς [illegible] τοῦ Χριστοῦ δυνάμει ὑγιὴς διεφυλάχθη. πάλιν ἀποκλείεται ἐν τῇ φυλακῇ· καὶ ἐκεῖ εὐχαριστοῦσα τῷ Θεῷ καὶ προσευχομένη, ἐτελειώθη.

5 Feb *Agathae* ...

374

ιη ✠ Μηνὶ τῷ αὐτῷ ϛ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ.

Οὗτος ὑπῆρχεν ἀπὸ Ἐμέσης τῆς πόλεως· ἰατρὸς δὲ ὤν.
ἐμάθευε τὴν ἰατρικὴν τέχνην· καὶ ἰάτρευε καὶ ἐθεράπευε
τοὺς ἀσθενοῦντας· καὶ τῇ προφάσει τοῦ ἰατρεύειν ἐδί-
δασκεν αὐτοὺς τὴν εἰς Χριστὸν πίστιν. καὶ ἐν ᾧ ἐπίζεν· ἐν
μιᾷ δὲ τῶν ἡμερῶν· κρατηθέντων παρὰ τῶν Ἑλλήνων
εἰς τὸ [illegible]θῆναι· Σιλουανοῦ τοῦ ἐπισκόπου· καὶ
Λουκᾶ διακόνου· καὶ Μωκίου ἀναγνώστου· κατὰ τοὺς
καιροὺς Νουμεριανοῦ τοῦ βασιλέως· καὶ εἰς φυλακὴν
ἀποκλεισθέντων· καὶ καταδικασθέντων καταβρω-
θῆναι ὑπὸ θηρίων· ἰδὼν ὁ ἅγιος Ἰουλιανὸς τὸ γινόμε-
νον· καὶ ζηλώσας ἐλυπεῖτο· ὅτε δὲ εἶδεν αὐτοὺς τῆς
φυλακῆς ἐξελθόντας· καὶ δεδεμένους καὶ συρομένους
πρὸς τὰ θηρία· ἔδραμε πρὸς αὐτούς· καὶ παρρησίᾳ
κατεφίλησεν αὐτούς· καὶ ηὔξατο αὐτοῖς· τότε καὶ αὐ-
τὸς κρατηθεὶς συνεδέθη αὐτοῖς· καὶ καθηλωθεὶς κεφα-
λήν· χεῖρας· πόδας· ἐν σπηλαίῳ τινὶ εἰσελθὼν ἐτελεύτησεν·

Feb 6 ... Mart. in Emesa

[…] τῇ ἡμέρᾳ. ἄθλησις τῆς ἁγίας μάρτυρος [Φα]ύστης καὶ τῶν σὺν αὐτῇ Εὐϊλασίου καὶ Μαξίμου·

Φαῦστα ἡ τοῦ Χριστοῦ μάρτυς, ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· ἐκ τῆς πόλεως Κυζίκου· θυγάτηρ γονέων πλουσίων καὶ εὐσεβῶν· ἀμφοτέρων δὲ τελευτησάντων ἐκείνων· αὐτὴ ὡς εὐγενὴς καὶ πλουσία, οὐκ ἠγάπησε τὰς ἡδονὰς τοῦ κόσμου· ἀλλ᾽ ἐν παρθενίᾳ· καὶ νηστείᾳ· καὶ ἀγρυπνίᾳ· καὶ ἐλεημοσύνῃ πρὸς τοὺς πένητας διῆγε. καὶ τὸν θεὸν ἐθεράπευεν· ἀνεγίνωσκε δὲ καὶ τὴν ἁγίαν γραφήν· διὰ τοῦτο καὶ ἡ φήμη αὐτῆς, μέχρι τοῦ βασιλέως ἤκουσε· καὶ ἀπεστάλη πρὸς αὐτὴν Εὐϊλάσιος ὁ ἄρχων· τοῦ πεῖσαι αὐτὴν θῦσαι τοῖς εἰδώλοις· ὡς δὲ εἶδεν αὐτὴν θαυματουργήσασαν, ἐπίστευσε τῷ Χριστῷ· τότε ἀπεστάλη Μάξιμος ὁ ἔπαρχος, βασανίσαι Φαῦσταν καὶ Εὐϊλάσιον· καὶ ἐποίησε χαλκεῖον κοχλάζον. καὶ ἐνέβαλεν ἐκεῖ τοὺς ἁγίους· ὡς δὲ εἶδεν ὅτι οὐ καίονται, πιστεύσας καὶ αὐτὸς τῷ Χριστῷ, εἰσῆλθεν αὐτομάτως εἰς [τὸ] χαλκεῖον· καὶ οὕτως οἱ τρεῖς ἐτελειώθησαν·

Feb. 6 Faustae et sociorum Euilasij, et Maximi Mart.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΣΙΛΟΥΑΝΟΥ ΕΠΙΣΚΟΠΟΥ, ΛΟΥΚΑ ΔΙΑΚΟΝΟΥ ΚΑΙ ΜΩΚΙΟΥ ΑΝΑΓΝΩΣΤΟΥ.

Οὗτοι οἱ ἅγιοι, ἐπὶ τῆς βασιλείας ὑπῆρχον Νουμεριανοῦ. ἐκ τῆς χώρας τῶν Ἐμεσηνῶν. καὶ ὁ μὲν ἅγιος Σιλουανὸς, ἐπίσκοπος ἦν τῆς αὐτῆς πόλεως. ὁ δὲ Λουκᾶς, διάκονος. ὁ δὲ Μώκιος, ἀναγνώστης. οἵτινες διδάσκοντες τὸν λόγον τοῦ θεοῦ καὶ τὸν Χριστὸν θεὸν καὶ ἀληθινὸν ὁμολογοῦντες, ἐκρατήθησαν ὑπὸ τῶν ἑλλήνων. καὶ παρεδόθησαν τῷ ἄρχοντι τῆς πόλεως Τύρου. τότε ἐκεῖ παρατυγχάνοντι. καὶ ἐρωτηθέντες. καὶ ἐνώπιον αὐτοῦ ὁμολογήσαντες τὸ ὄνομα τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐβασανίσθησαν ἰσχυρῶς. καὶ ἔλαβον μὲν πρόφασιν. ὅπως θηρίοις παραδοθῶσιν εἰς βρῶσιν. ὅτε καὶ συρομένων αὐτῶν, προσδραμὼν ὁ ἅγιος Ἰουλιανὸς, ὡς ὑπ' αὐτῶν κατηχηθεὶς, κατεφίλησεν αὐτούς. καὶ ἐπηύξατο αὐτοῖς τελειῶσαι τὸ μαρτύριον. οἱ δὲ ἅγιοι ἀποβληθέντες εἰς τὸ θέατρον, θηρίων αὐτοῖς ἐπαπολυθέντων, εὐχαριστοῦντες τῷ θεῷ ἐτελειώθησαν.

✣ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου Φαύστου ἐπισκόπου :·

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βουκόλου ἐπισκόπου Σμύρνης· μαθητοῦ Ἰωάννου τοῦ θεολόγου.

Βουκόλος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐκ νεαρᾶς ἡλικίας ἐπιτήδειος γενέσθαι ὡραῖος καὶ φοβούμενος τὸν Θεόν· καὶ ἀκούσας περὶ αὐτοῦ ὁ ἅγιος Ἰωάννης ὁ θεολόγος, προσελάβετο αὐτόν· καὶ ἐποίησεν ἑαυτοῦ μαθητήν. καὶ διέτριβε μετ' αὐτοῦ ὅτε ἦν ἐν Ἐφέσῳ· καὶ ἰδὼν αὐτὸν ἐν ἀρετῇ καὶ ἐν πᾶσι τοῖς πνευματικοῖς ἔργοις διαλάμποντα καὶ τετελειωμένον, ἐποίησεν ἐπίσκοπον τῆς Σμύρνης· καὶ ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ὁδηγούμενος, πολλοὺς τῶν ἀπίστων ἀπὸ τῆς πλάνης ἐπιστρέψας καὶ βαπτίσας, τῷ ἀληθινῷ Θεῷ προσήγαγεν· οὗτος δὲ ἐγένετο μέγας, ὡς καὶ τὰ μέλλοντα καὶ προειπεῖν καὶ προλέγειν· καὶ γὰρ τῷ προφητικῷ χαρίσματι προγνοὺς τὸν ἅγιον Πολύκαρπον διάδοχον αὐτοῦ ἔσεσθαι, ἐπιζῶν αὐτὸς ἐχειροτόνησεν αὐτόν. καὶ κατέστησεν ἐπίσκοπον ἀντ' αὐτοῦ καὶ ποιμένα· ἀλλὰ καὶ ἀποθανὼν καὶ ταφεὶς, φυτὸν ἐποίησεν ἀναφυῆναι ἐπάνω τοῦ τάφου αὐτοῦ, παρέχον ἰάσεις ἀεί.

μηνὶ τῷ αὐτῷ ζ΄. ἄθλησις τῶν ἁγίων χιλίων
τριῶν μαρτύρων τῶν ἐν νικομηδ(είᾳ) μαρτυρησάντ(ων)

Οὗτοι δοῦλοι ὑπῆρχον τῶν τεσσάρων πραικτόρων· τῶν
ἀποσφαγέντων παρὰ τοῦ βασιλέως διοκλητιανοῦ·
κρατησάντων τὸν ἅγιον πέτρον τὸν ἀρχιεπίσκοπον ἀ-
λεξανδρείας· καὶ ἀποκεφαλισάντων· εἶτα καὶ πι-
στευσάντων τῷ χριστῷ σὺν τοῖς ἰδίοις αὐτῶν παισί· μετὰ
τὴν ἄθλησιν τοῦ ἁγίου πέτρου. καὶ ἀποθανόντων καὶ αὐ-
τῶν ὑπὲρ χριστοῦ· καὶ ἰδόντες ὅτι ἀπέθανον ὑπὲρ τοῦ
χριστοῦ οἱ κύριοι αὐτῶν· καὶ λυπηθέντες καὶ ζηλώσαντες·
ἀνέλαβον τὰς γυναῖκας ἑαυτῶν καὶ τὰ παιδία· καὶ
πάντας τοὺς συγγενεῖς· καὶ ἦλθον ἔμπροσθεν τοῦ βα-
σιλέως εἰς νικομήδειαν. κράζοντες καὶ λέγοντες ὅτι
καὶ ἡμεῖς χριστιανοί ἐσμεν· καὶ ἀκούσας ταῦτα ὁ διο-
κλητιανὸς· ἐταράχθη καὶ ὠργίσθη· καὶ πρότερον μὲν
διὰ κολακείας ἐπεχείρησε πεῖσαι αὐτοὺς ἀρνήσασθαι
τὸν χριστόν· ὡς δὲ οὐκ ἔπεισε· προστάσσει τοῖς στρατιώταις
καὶ μετὰ ἀπαθῶν κατέκοψαν αὐτοὺς ἔμπροσθεν αὐτοῦ:

38°

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου Παρθενίου ἐπισκόπου Λαμψάκου·

Παρθένιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν. ἦν ἐπὶ τῆς βασιλείας
Κωνσταντίνου τοῦ μεγάλου· υἱὸς Χριστοφόρου διακόνου,
τῆς ἐν Μελιτουπόλει ἐκκλησίας· γραμμάτων μὲν ἄ-
πειρος· ἐλεήμων δὲ καὶ ἐνάρετος· ἥλιευε δὲ καὶ τοὺς
ἰχθύας. καὶ διεδίδου ἐκ τῆς ἄγρας τοῖς ζητοῦσι· τοσαύ-
τη δέ τις ἦν κεκρυμμένη ἐν αὐτῷ ἀρετή. ὥστε καὶ χάριν
παρὰ θεοῦ λαμβάνειν· δαίμονας ἀπελαύνειν. καὶ νόσους
ἰᾶσθαι· ἐσπούδασε δὲ καὶ ἔμαθε γράμματα. Καὶ χει-
ροτονεῖται πρεσβύτερος ὑπὸ Φιλίππου τοῦ ἐπισκόπου
Μελιτουπόλεως· εἶτα ἐπίσκοπος Λαμψάκου. ὑπὸ
Ἀχιλλίου μητροπολίτου Κυζίκου· πολλὰ δὲ θαύματα
ἐποίησε· καὶ γὰρ ὑπὸ ταύρου τὸν ὀφθαλμὸν ἀνδρὸς τινὸς
ἐκκοπέντος ἰάσατο· καὶ τὸ πάθος τὸ λεγόμενον καρκί-
νον. ἐθεράπευσε· καὶ τὸν ὑπὸ τῆς ἁμάξης συμπατη-
θέντα ἄπνουν. ἀνέζωσε· καὶ ἄλλα πολλὰ παράδοξα ποιή-
σας καὶ περὶ μελλόντων προειπὼν. ἐν εἰρήνῃ ἐτελειώθη·

Parthenij Epi Lampsaci

381 τῆ αὐτῆ ἡμέρα. μνήμη τοῦ ἁγίου ἀρίωνος ἐπι-
σκόπου κύπρου :·

382

✠ Μηνὶ τῷ αὐτῷ η'. μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ζαχαρίου, ἑνὸς τῶν ιϛ' προφητῶν:

Οὗτος ὁ προφήτης ἐγεννήθη μὲν ἐν τῇ χώρᾳ τῆς Ἰουδαίας· ἦλθε δὲ εἰς τὴν Χαλδαίων, γέρων ἤδη γενόμενος· καὶ ἐκεῖ πολλὰ προεφήτευσε· καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν καὶ σημεῖα. Οὗτος εἶπε τῷ βασιλεῖ Ἰωσεδὲκ ὅτι γεννήσεις υἱὸν καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει· ὁμοίως καὶ τὸν Σαλαθιὴλ ἀπὸ [?] εὐλόγησεν ἐπὶ υἱῷ· καὶ τὸ ὄνομα αὐτοῦ ἐπέθηκε Ζοροβάβελ· καὶ ἐπὶ Κύρου τοῦ βασιλέως σημεῖον προφητείας ἔδωκεν εἰς νῖκος· καὶ περὶ τῆς λειτουργίας αὐτοῦ προηγόρευσεν, ἣν ποιήσει ἐν Ἱερουσαλήμ· καὶ περὶ τέλους ἐθνῶν· καὶ περὶ προφητειῶν καὶ ἱερωσύνης τῶν Ἰουδαίων ὅτι καταργηθήσονται· καὶ περὶ τοῦ ναοῦ ὅτι καταλυθήσεται· καὶ περὶ τῆς παρουσίας τοῦ Χριστοῦ, ὅτι καταμύσει πᾶσαν εἰδωλολατρίαν καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας. Ταῦτα δὲ προφητεύσας καὶ ἄλλα πολλά, ἐν γήρᾳ μακρῷ ἀπέθανε· καὶ ἐτάφη ἐντίμως σύνεγγυς τοῦ τάφου τοῦ ἁγίου Ἀγγαίου τοῦ προφήτου:

8 Feb. *Zachariae unius ex sexdecim proph.*

383 ✱ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυ-
ρος Θεοδώρου τοῦ στρατηλάτου τοῦ ἐν Εὐχανείᾳ †

Ὁ μέγας μάρτυς Θεόδωρος ὁ στρατηλάτης. ἦν ἐπὶ Λικιννίου
τοῦ βασιλέως· τὴν μὲν οἴκησιν ἔχων ἐν τοῖς Εὐχαΐτοις· δια-
τρίβων δὲ εἰς Ἡράκλειαν τοῦ Πόντου· ἀνὴρ λόγιος· καὶ
εὔμορφος καὶ συνετὸς· τοσοῦτον. ὥστε καὶ τὸν βασιλέα ἐπιθυ-
μῆσαι ἰδεῖν αὐτόν· ἔμαθε γάρ. ὅτι ὡραιότατός ἐστι καὶ ἀνδρεῖ-
ος. πλὴν μόνον ὁμολογεῖ τὸν Χριστόν· καὶ ἀποστείλας ἐκάλεσεν αὐτὸν εἰς Νι-
κομήδειαν· ὁ δὲ εἶπε πρὸς τοὺς ἀποσταλέντας· ὅτι μᾶλλον
πρέπει ἐνταῦθα ἐλθεῖν τὸν βασιλέα· καὶ φέρειν καὶ τοὺς χρυσοῦς
καὶ ἀργυροῦς αὐτοῦ θεούς. οἷς κελεύει προσάγειν θυσίας· ὁ
δὲ Λικίννιος ἀκούσας. μετὰ χαρᾶς τοῦτο ἐποίησε· καὶ μαθὼν
ὁ ἅγιος ὅτι ἔρχεται ὁ Λικίννιος· ἐπικαθεσθεὶς ἵππῳ. ὑπήν-
τησεν αὐτῷ· καὶ προσκυνήσας. ἐτίμησεν ὡς βασιλέα· ὁ δὲ βασιλεὺς
εἰσελθὼν ἐν τῇ πόλει. παρεκάλει τὸν ἅγιον θῦσαι τοῖς θεοῖς· ὁ δὲ ἠ-
τήσατο λαβεῖν αὐτοὺς καὶ θεραπεῦσαι πρότερον ἐν τῷ οἴκῳ· καὶ λαβὼν
συνέτριψε καὶ διέδωκε πτωχοῖς· καὶ διὰ τοῦτο πολλὰ βασανισθεὶς πρότερον,
ὕστερον ἀπεκεφαλίσθη· τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἀνακομισθὲν ἐτέθη ἐν Εὐχαΐτοις.

8 Feb. Theodori ducis exercitus in Euchania

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν Θεοδοσίου.

Θεοδόσιος ὁ ὁσιώτατος π(ατ)ὴρ ἡμῶν. ἐγένετο ἀπὸ Ἀντιοχείας τῆς Συρίας· υἱὸς γονέων ἐνδόξων καὶ πλουσίων· ἀλλὰ καταλιπὼν καὶ γονεῖς καὶ δόξαν καὶ πλοῦτον καὶ τὸν κόσμον, ἀπῆλθεν εἰς τὸ συγκείμενον τῇ Κιλικίᾳ ὄρος· καὶ εὑρὼν πέτραν μακρὰν ἐπέχουσαν σκέπην μεγάλην πρὸς θάλασσαν ἀποκλίνουσαν, κατῴκησεν ἐκεῖ· εἶτα καὶ μικρὸν οἰκίσκον κτίσας, κατέμενεν ἐν νηστείαις καὶ χαμευνίαις καὶ ἀγρυπνίαις· καὶ προσευχαῖς ἑαυτὸν ἐκδούς. [illegible] ἀπὸ μὲν τὸ σῶμα αὐτοῦ· ἦν δὲ τὸ ἔνδυμα αὐτοῦ ἐκ τριχῶν τραχειῶν· ἀλλὰ καὶ σίδηρα μακρὰ ἐν τῷ ἑαυτοῦ τραχήλῳ ἐνάψας· καὶ ἐν ταῖς χερσί· καὶ ἐν τῷ μέσῳ τοῦ σώματος. τοιοῦτος δὲ γενόμενος, πολλῆς ἔτυχε χάριτος καὶ παρρησίας πρὸς τὸν Θ(εὸ)ν· ἀλλὰ καὶ θαύματα πολλὰ ἐποίησεν· ἐκ πέτρας γὰρ ἀκροτόμου ὕδωρ ἀναβλύσαι πεποίηκε· καὶ ἐν θαλάσσῃ κινδυνεύοντας πολλοὺς διέσωσεν· ἀπελθὼν δὲ εἰς Ἀντιόχειαν διὰ τὴν ἔφοδον τῶν Ἰσαύρων, ἐτελειώθη.

† Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρθας καὶ Μαρίας γνησίων ἀδελφῶν καὶ Λυκαρίωνος μοναχοῦ.

Ἡ ἁγία μάρτυς τοῦ Χ(ριστο)ῦ Μάρθα καὶ ἡ ἀδελφὴ αὐτῆς Μαρία, ἦσαν παρθένοι ἰδιάζουσαι καὶ τὸν Θ(εὸ)ν φοβούμεναι· διερχομένου δὲ τοῦ τῆς χώρας ἄρχοντος εἰς τὴν οἰκίαν ἔνθα κατέμενον, ἀπὸ τῆς θυρίδος προκύψασαι, χριστιανὰς ἑαυτὰς ἀνεκάλεσαν· καὶ ἰδὼν ὁ ἄρχων τὸ νέον τῆς ἡλικίας αὐτῶν, εἶπεν πρὸς αὐτάς· ἔλθωμεν ὑμᾶς φονεῦσαι· ἀλλ' ἐὰν μὲν θύσητε τοῖς θεοῖς, καλῶς ἀπολύεσθε· ἂν δὲ σφαγῆναι. εἶπον μὴ εἶναι θάνατον τὸ ὑπὲρ Χ(ριστο)ῦ ἀποθανεῖν· ἀλλὰ ζωήν· ὁμοίως καὶ νέος τις μοναχὸς Λυκαρίων ὄνομα, ὁ μετὰ τῶν παρθένων μένειν ἀρ[illegible]ζόμενος, τὰ ὅμοια εἶπεν· καὶ τοὺς τῶν Ἑλλήνων θεοὺς εἴδωλα ἐκάλεσε· καὶ τοὺς προσκυνοῦντας αὐτὰ, ἀθλίους· τότε ὀργισθεὶς ὁ ἄρχων, προστάζει τοῖς στρατιώταις ἀποκτεῖναι αὐτούς· καὶ τὰς μὲν ἁγίας ἐσταύρωσαν, καὶ τοῖς ξίφεσι κατέκοψαν· τὸν δὲ ὅσιον Λυκαρίωνα, ἀπεκεφάλισαν· καὶ οὕτως ἐτελειώθησαν καὶ παρέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κ(υρί)ῳ.

8 Feb.

✠ τῆ αὐτῆ ἡμέρα. ἄθλησις τοῦ ἁγίου μάρτυρος φιλαδέλφου·:

387

✠ Μηνὶ τῷ αὐτῷ θ΄. ἄθλησις τοῦ ἁγίου μάρτυρος νικηφόρου:-

Νικηφόρος ὁ ἔνδοξος μάρτυς τοῦ χ(ριστο)ῦ. ὑπῆρχεν ἐπὶ οὐαλερια-
νοῦ καὶ γαλλιηνοῦ τῶν βασιλέων· ἰδιώτης τὴν τάξιν·
εἶχε δὲ φίλον σαπρίκιον καλούμενον πρεσβύτερον τῆς
τῶν χριστιανῶν ἐκκλησίας· ὅστις ἀπὸ διαβολικῆς ἐνερ-
γείας ἐμίσησε τὸν ἅγιον νικηφόρον. καὶ ἐμνησικάκει· γε-
νομένου δὲ διωγμοῦ καὶ κρατηθεὶς ὁ σαπρίκιος παρὰ τῶν εἰ-
δωλολατρῶν. ἵνα καὶ αὐτὸς θύσῃ τοῖς εἰδώλοις· πέμψας
δὲ πρὸς αὐτὸν μεσίτας ὁ ἅγιος νικηφόρος· παρεκάλεσε συγ-
χωρῆσαι αὐτῷ πρὸ τοῦ ἀποθανεῖν· ὁ δὲ σαπρίκιος. οὐ
συνεχώρησε· καὶ ὅτε εἶδεν αὐτὸν συρόμενον ὑπὸ τῶν δη-
μίων πρὸς τὸ ἀποκεφαλισθῆναι· δραμὼν. ὑπέπεσε τοῖς
πόδας αὐτοῦ παρακαλῶν συγχωρηθῆναι· καὶ οὐδὲ οὕτως
ἔπεισε τὸν ἄθλιον· τότε ἀπεστράφη αὐτὸν ὁ θ(εό)ς· τανυσθεὶς γὰρ
τὸν τράχηλον καὶ ἰδὼν τὸ ξίφος γυμνωθὲν. ἔφη τοῖς δημίοις· ἀρ-
νοῦμαι καὶ θύω τοῖς θεοῖς· δραμὼν δὲ ὁ ἅγιος νικηφόρος ὑπέθηκε
τὸν ἑαυτοῦ τράχηλον ἀντὶ σαπρικίου. καὶ ἀπεκεφαλίσθη ὑπὲρ χ(ριστο)ῦ:-

9 Feb. Nicephori Mart.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Μαρκιανοῦ ἐπισκόπου Σικελίας, Φιλαγρίου ἐπισκόπου Κύπρου καὶ Παγκρατίου ἐπισκόπου Ταυρομενίου.

Οὗτοι μαθηταὶ ἐγένοντο τοῦ ἁγίου ἀποστόλου Πέτρου· ὁ μὲν γὰρ πατὴρ τοῦ ἁγίου Παγκρατίου, ἐπὶ τοῦ Χριστοῦ περιπατοῦντος σωματικῶς ἐπὶ τῆς γῆς καὶ θαυματουργοῦντος, ἀκούσας, λαβὼν μεθ' ἑαυτοῦ ἀπ' Ἀντιοχείας εἰς Ἱερουσαλὴμ μετὰ τοῦ Παγκρατίου, ἰδεῖν αὐτόν· καὶ γενόμενος γνώριμος τῷ ἁγίῳ Πέτρῳ, μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ ἠκολούθει αὐτῷ· καὶ προχειρισθεὶς ὑπ' αὐτοῦ ἐπίσκοπος Ταυρομενίου, καὶ διδάσκων ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, ἐφονεύθη κρυφαίως ὑπὸ τῶν Ἑλλήνων. Ὁ δὲ Μαρκιανὸς ὁμοίως χειροτονηθεὶς ἐπίσκοπος Σικελίας, καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέψας ἐπὶ τὸν Κύριον, ἐτελειώθη. Ὁ δὲ Φιλάγριος τῆς Κύπρου καταστὰς ἀρχιερεύς, καὶ διδάσκων καὶ αὐτὸς ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, πολλοὺς πειρασμοὺς ὑπό τε τῶν δαιμόνων καὶ τῶν μὴ φοβουμένων τὸν Κύριον πονηρῶν καὶ ἀπίστων ἀνθρώπων ὑπομείνας, εὐχαριστῶν τῷ Θεῷ μέχρι τῆς ἐσχάτης ἀναπνοῆς, ἐτελεύτησεν.

9 Feb.

Μηνὶ τῷ αὐτῷ ι΄. ἄθλησις τῶν ἁγίων Χαραλάμπους, Πορφυρίου, Δαύκτου καὶ τριῶν γυναικῶν.

Χαράλαμπος ὁ τοῦ Χριστοῦ μάρτυς ἐν τῇ Μαγνησίᾳ τῇ πόλει ἱερεὺς τῶν χριστιανῶν, ἐπὶ τῆς βασιλείας Σευήρου· διδάσκων δὲ τὴν ὁδὸν τῆς ἀληθείας, ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος Λουκιανοῦ· καὶ ἐξεδύθη τὴν ἱερατικὴν στολήν· εἶτα ἐξεδάρη ὅλον τὸ δέρμα τοῦ σώματος. ἐπεὶ δὲ εἶδεν αὐτὸν ὁ ἡγεμὼν καρτεροῦντα, θυμωθεὶς οἰκείαις χερσὶν ἐπεχείρει ξέειν τὸν ἅγιον. Καὶ παραυτίκα ἐξεκόπησαν αἱ χεῖρες αὐτοῦ. Καὶ προσευξάμενος ὁ ἅγιος, ὑγιῆ αὐτὸν ἐποίησε. τότε ἰδόντες Πορφύριος ὁ δήμιος καὶ Δαύκτος, ἠρνήσαντο τὰ εἴδωλα, καὶ ἐπίστευσαν τῷ Χριστῷ· ὁμοίως καὶ γυναῖκες τρεῖς ἐκ τῶν παρισταμένων ἐκεῖ. θεασάμεναι τὸ θαῦμα, ὡμολόγησαν τὸν Χριστόν· καὶ ἐκρατήθησαν. καὶ ἰσχυρῶς ἐβασανίσθησαν. εἶτα γὰρ καὶ ἰάθη ὁ ἡγεμών, ἀλλ᾽ ὅμως ἔμεινεν ἐν τῇ ἀπιστίᾳ αὐτοῦ. καὶ μετὰ πολλῆς ὀργῆς καὶ ὠμότητος ἀπεκεφάλισεν ἅπαντας.

10 Feb. Charalampi, Porphyrii, Daucti et trium mulier. [illegible]

390

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΒΛΑΣΙΟΥ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩ ΑΓΙΩΝ ΓΥΝΑΙΚΩΝ·

Οὗτος ἦν κατὰ τοὺς καιροὺς Λικιννίου τοῦ βασιλέως. ἐπίσκοπος Σεβαστείας· διὰ δὲ τὸν διωγμὸν, ἐκρύπτετο εἰς ἓν τῶν ἐν τῷ ὄρει σπηλαίων· ὅπου καὶ τὰ ἄγρια ζῶα ἡμερούμενα. χειροθετηθεὶς δὲ διὰ τῆς εὐλογίας τοῦ ἁγίου· ὑπάρχων δὲ καὶ τῆς ἰατρικῆς τέχνης ἔμπειρος. πολλὰς ἰάσεις ἐπετέλει· τὴν τῶν θαυμάτων ἐνέργειαν παρὰ τοῦ κῡ λαβών· οὗτος κρατηθεὶς. ἤχθη πρὸς τὸν ἡγεμόνα Ἀγρικόλαον· καὶ ὁμολογήσας τὸ ὄνομα τοῦ χῡ. τύπτεται μετὰ ῥαβδίων· καὶ κρεμασθεὶς ξέεται· εἶτα ἀπαγομένου αὐτοῦ ἐν τῇ φυλακῇ. ἠκολούθησαν αὐτῷ γυναῖκες ἑπτά· χριστιανὰς ἑαυτὰς ὁμολογήσασαι. καὶ εὐθέως ἀπεκεφαλίσθησαν· ὁ δὲ ἅγιος Βλάσιος. πρῶτον μὲν ἐν τῷ βυθῷ τῆς λίμνης ἐρρίφη· καὶ ὡς διὰ ξηρᾶς πρὸς τὴν γῆν ἐξῆλθε· καὶ μετὰ ταῦτα ἀπετμήθη τὴν κεφαλὴν μετὰ τῶν δύο βρεφῶν. τῶν ὄντων μετ' αὐτοῦ ἐν τῇ φυλακῇ·

Feb. 11 Blasij episcopi et sociar. mulier. Mart

39

Τῆ αὐτῆ ἡμέρα· ἡ εὕρεσις τοῦ τιμίου λειψάνου
τοῦ ἁγίου προφήτου Ζαχαρίου:

11 Feb. Inventionis Reliquiar. Zachariæ Prophetæ

392

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη Θεοδώρας τῆς βασιλίσσης τῆς ποιησάσης τὴν ὀρθοδοξίαν

Ἡ μακαρία Θεοδώρα ἡ βασίλισσα, ἐγένετο γυνὴ Θεοφίλου βασιλέως τοῦ εἰκονομάχου· οὐκ ἦν δὲ αἱρετικὴ ὥσπερ ὁ ἀνὴρ αὐτῆς· ἐκεῖνος μὲν γὰρ τὸν ἅγιον Μεθόδιον τὸν πατριάρχην Κωνσταντινουπόλεως ἐξώρισε· καὶ ἀντὶ ἐκείνου ἐποίησε πατριάρχην Ἰαννὴν τὸν λεκανομάντιν· καὶ τὰς ἁγίας εἰκόνας κατέκαυσεν· ἐκείνη δὲ εἰ καὶ φανερῶς οὐκ ἐτόλμα προσκυνεῖν τὰς ἁγίας εἰκόνας, ὅμως εἶχεν αὐτὰς κεκρυμμένας ἐν τῷ κοιτῶνι αὐτῆς· καὶ τὴν νύκτα ἠσπάζετο προσευχομένη καὶ παρακαλοῦσα τὸν θεόν, ἵνα ποιήσῃ ἔλεος μετὰ τῶν ὀρθοδόξων· ἐγέννησε δὲ υἱὸν ὀνόματι Μιχαήλ· καὶ ἐδίδαξε καὶ αὐτὸν τὴν ὀρθοδοξίαν· μετὰ δὲ τελευτὴν τοῦ ἀνδρὸς αὐτῆς εὐθέως ἤγαγε τὸν ἅγιον Μεθόδιον· καὶ συνήγαγε τὴν ἱερὰν σύνοδον· καὶ ἀνεθεμάτισε τοὺς εἰκονομάχους· καὶ τὸν Ἰαννὴν κατεβίβασε τοῦ θρόνου· καὶ τὰς ἁγίας εἰκόνας εἰσήγαγεν εἰς τὴν ἐκκλησίαν· [illegible] ἐτελεύτησε· καταλιποῦσα τὴν βασιλείαν τῷ υἱῷ αὐτῆς Μιχαήλ.

Μηνὶ τῷ αὐτῷ ιβ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἀντωνίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως·

Ἀντώνιος ὁ ἐπιλεγόμενος Καυλέας· εἶχε γονεῖς εὐσεβεῖς καὶ
πλουσίους· καὶ περιωνύμους ἐν τῇ συγκλήτῳ· πέντε δὲ ἐ-
τῶν ὑπάρχων, τὰ τῶν ἱερέων ἐπειρᾶτο ἐπιτελεῖν· ἤγαγ-
ε ὡς οἱ ἐν δοιέσι ταῖς ἀγυιαῖς ἔργα ἔχειν· ἐδυσχέραινε δὲ ἡ μήτηρ αὐ-
τοῦ, διὰ τὸ νέον τῆς ἡλικίας· μετὰ δὲ τελευτὴν ἐκείνης ἐ-
δόθη ὑπὸ τοῦ πατρὸς εἰς μοναστήριον· καὶ γέγονε μοναχός·
καὶ προκόψας εἰς ἄνδρας, ἐγένετο καὶ πρεσβύτερος ἐμ-
νυζόμενος διὰ τὴν πολλὴν αὐτοῦ ἀρετήν· ἰδὼν δὲ ὁ πατὴρ αὐ-
τοῦ οὕτως αὐτὸν προκόπτοντα· ἐγένετο καὶ αὐτὸς μοναχὸς ὑ-
π' ἐκείνου ἐνδυσάμενος τὸ ἅγιον σχῆμα· καὶ γίνεται ὁ σαρκικὸς
πατὴρ πνευματικὸς υἱός· τοσοῦτον δὲ ἐγένετο ἐλεήμων· ὥς ποτε
παρερχόμενος δέξασθαι χρυσίου πολλοῦ αἰτούμενος·
καὶ ἀκοῦσαι ὅτι λάβε τοῦτο καὶ δὸς πτωχοῖς· καὶ τῆς μὲν
φωνῆς ἀκοῦσαι· τὸν δὲ ἐπιδόντα τὸ χρυσίον μὴ ἰδεῖν·
τοιοῦτος δὲ ὤν, ψήφῳ τοῦ βασιλέως καὶ τῆς συνόδου γί-
νεται πατριάρχης Κωνσταντινουπόλεως· καὶ οὕτως ἐτελειώθη:

12. Feb. Antonii Archiepi. Constantinop. 9.3

✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τῆς ὁσίας Μαρίας τῆς μετονομασθείσης Μαρίνου.

Ἡ ἁγία Μαρία θέλουσα λαθεῖν τοὺς ἅπαντας· καὶ σῶσαι τὴν ἑ-
αυτῆς ψυχήν, ἤλλαξε τὴν γυναικείαν στολήν· καὶ ἐνδυσαμέ-
νη ἀνδρεῖα ἱμάτια· καὶ μετονομάσασα ἑαυτὴν Μαρῖνον ἀντὶ
Μαρίας, μετὰ τοῦ ἰδίου πατρὸς Εὐγενίου· εἰσῆλθεν ἐν μοναστη-
ρίῳ καὶ ἀπεκείρατο· καὶ ἐδούλευεν μετὰ τῶν ὑποτακτικῶν
ἀδελφῶν τοῖς μοναχοῖς καὶ τῷ πατρὶ αὐτῆς. ἀγνοουμένη παρὰ
τῶν μοναχῶν ὅτι γυνὴ ἦν· ἐν μιᾷ οὖν μείνασα ἐν πανδο-
χείῳ, διαβάλλεται ὡς διαφθείρασα τὴν τοῦ πανδοχέως
θυγατέρα· καὶ καταδεξαμένη τὸ ὄνειδος ἣν οὐκ εἰργάσα-
το ἁμαρτίαν, ὁμολογεῖ ποιῆσαι· καὶ τοῦ πυλῶνος ἐκβληθεῖσα,
τρεῖς χρόνους ἔξω ταλαιπωρεῖται ἐκτρέφουσα τὸ γεννηθὲν
παιδίον. ὕστερον οὖν κατοικτειρθεῖσα, ἐδέχθη δὲ εἰς τὴν μονήν. καὶ ἠκολού-
θει αὐτῇ τὸ παιδίον ἄρρεν ὑπάρχον· μετὰ δὲ τελευτὴν αὐτῆς,
ἀπεκαλύφθη τὰ κατ᾽ αὐτήν· καὶ ἡ τοῦ πανδοχέως θυγάτηρ ὑ-
πὸ δαίμονος ἐλαυνομένη, [illegible] ὑπὸ στρατιώτου τινὸς διαφθα-
ρῆναι, καὶ οὐχὶ ὑπὸ τοῦ Μαρίνου· καὶ ἐθαύμασαν πάντες, ἐδόξασαν τὸν θεόν.

12 Feb. Maria vocata: nomine Marini

✠ ΜΗΝΙ Τῼ ΑΥΤῼ ΙΓ. ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΡΣ ΗΜΩΝ ΜΑΡΤΙΝΙΑΝΟΥ·

Ὅσιος Μαρτινιανὸς ἦν ἀπὸ Καισαρείας τῆς Παλαιστίνης· γε-
νόμενος δὲ μοναχός, ἡσύχαζεν ἐν τῷ ὄρει· καὶ πληρώσαντος
αὐτοῦ ἐν τῇ ἀσκητικῇ πολιτείᾳ ἔτη εἴκοσι πέντε, ἐπειράσθη
ὑπὸ τοῦ διαβόλου· ὑπουργηθεῖσα γὰρ ὑπὸ πονηρῶν ἀνθρώπων
μισθῷ πόρνη τις· καὶ πτωχικὰ φορέσασα ἱμάτια, ἀπῆλθε πρὸς
αὐτὸν νυκτός· ὡς δῆθεν ἀπολέσασα τὴν ὁδόν· καὶ ἐβιάσατο
ἀνοῖξαι τὸ κελλίον καὶ δέξασθαι αὐτήν, ἵνα μὴ βρωθῇ ὑ-
πὸ θηρίων· ὅτε δὲ εἰσῆλθε διὰ νυκτὸς φορέσασα τὴν
πορνικὴν στολὴν ἣν ἐβάσταζε, λόγοις πορνικοῖς κατα-
χαυνώσασα τὸν ἅγιον, ἐξεκαλεῖτο πρὸς μῖξιν· ὁ δὲ πρὸ τοῦ
διαπράξασθαι τι, μεταμονήσας, καὶ ἀνάψας φρύγανα, εἰ-
σῆλθε μέσον τῆς φλογός· καὶ ἔλεγε πρὸς ἑαυτόν· ταπεινὲ
Μαρτινιανέ· εἰ δύνασαι τὸ τῆς κολάσεως πῦρ ὑπομεῖναι, ποίη-
σον καὶ τὴν ἁμαρτίαν· καὶ οὕτω κατωκονόμησε· εὐσεβῶς καὶ τὴν γυναῖκα
σωφρονήσας ἐποίησε σωθῆναι· καὶ φυγὼν καὶ ἀπελθὼν εἰς πέτραν μέσον τῆς θα-
λάσσης, πάλιν ἐπειράσθη· καὶ οὕτω πειραζόμενος καὶ νικῶν, πρὸς θεὸν ἐξεδήμησε·

396

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τῶν ἁγίων Ἀκύλα καὶ Πρισκίλλης:

Ὁ ἅγιος Ἀκύλας· σκυτοτόμος μὲν ἦν τὴν τέχνην πρότερον·
Ἕλλην δὲ ὑπάρχων. ὅμως τῆς ἐλεημοσύνης καὶ τῆς πρὸς
τοὺς πτωχοὺς συμπαθείας. οὐκ ἐπελανθάνετο· ἀλλ' εἴ τι ἐ-
κέρδαινεν ἐκ τοῦ ἔργου χειρῶν αὐτοῦ. ἐμέριζεν αὐτὸ μετὰ
τῶν πτωχῶν· ἀκούσας δὲ περὶ τοῦ ἁγίου ἀποστόλου Παύ-
λου κηρύττοντος τὸν χ̅ν. ἀπῆλθε πρὸς αὐτὸν μετὰ τῆς
γυναικὸς αὐτοῦ Πρισκίλλης. ὡς εἰς ὁμότεχνον· σκυτοτό-
μος γὰρ ἦν καὶ αὐτός· καὶ διδαχθέντες ὑπ' αὐτοῦ τὸν λόγον
τῆς ἀληθείας. ἐβαπτίσθησαν· καὶ ἦσαν δουλεύοντες αὐτῷ.
καὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν ἀκολουθοῦντες αὐτῷ. καὶ συγ-
κινδυνεύοντες ἐν πᾶσι πειρασμοῖς· τοσοῦτον δὲ ἦν ἀγα-
πητὸς ἐν αὐτοῖς ὁ μέγας ἀπόστολος διὰ τὴν ἀρετὴν αὐτῶν
καὶ τὴν πρὸς τὸν χ̅ν πίστιν. ὡς καὶ μνημονεύειν αὐτῶν
ἐν ταῖς ἑαυτοῦ ἐπιστολαῖς· μετὰ δὲ θάνατον τοῦ ἀποστό-
λου τοῦ χ̅υ ὁμολογεῖν μὴ παυσάμενοι. ἐκρατήθησαν ὑ-
πὸ τῶν εἰδωλολατρῶν· καὶ πολλὰ βασανισθέντες. ἀπεκεφαλίσθησαν·

τοῦ ἁγίου

13 Feb.

397

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἁγίου Εὐλογίου ἐπισκόπου Ἀλεξανδρείας

υλόγιος ὁ ἁγιώτατος καὶ μέγας ποιμήν. ἐπίσκοπος
γεγονὼς τῆς πόλεως Ἀλεξανδρείας ἐπὶ τῆς βασιλείας Ἡρα-
κλείου πρὸ τοῦ ἁγίου Ἰωάννου τοῦ ἐλεήμονος· ὁ ποιήσας
δὲ διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν πρὸς θεὸν οἰκείωσιν. ἐ-
θαύματα πολλά· ἐξ ὧν ἐστι καὶ τοῦτο· τοῦ ἁγιωτάτου
ἀρχιεπισκόπου Λέοντος γράψαντος ἐπιστολὴν συμφω-
νοῦσαν τῇ ἐν Χαλκηδόνι συνόδῳ· ἀναγνοὺς αὐτὴν ὁ ἅγιος Εὐ-
λόγιος· οὐ μόνον ἐπῄνεσε καὶ ἀπεδέξατο· ἀλλὰ καὶ στή-
λην αὐτὴν ὀρθοδοξίας καλέσας· τοῖς πᾶσιν ἀνεκήρυ-
ξεν· ὁ δὲ θεὸς θέλων θεραπεῦσαι ἀμφοτέρους τοὺς ἀρχι-
ερεῖς· ἔπεμψεν ἄγγελον ὡς ἐν σχήματι τοῦ ἀρχιδιακόνου
τοῦ ἁγίου Λέοντος· εὐχαριστοῦντα τῷ ἁγίῳ Εὐλογίῳ ὑπὲρ
οὗ ἀπεδέξατο τὴν δηλωθεῖσαν ἐπιστολήν· ὁ δὲ ἅγιος
διελέγετο αὐτῷ ὡς ἀνθρώπῳ· ἕως ἄφαντος ἐγένετο ὁ ἄγγελος
ἀπ' αὐτοῦ· καὶ γνοὺς ὅτι ἄγγελος θεοῦ ἦν. ἐδόξασεν αὐτόν·
καὶ τοιούτοις ἐν πολλοῖς θεὸν θεραπεύσας· ἐτελειώθη·

13 Feb. Eulogij epi Alexandrini

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΡΣ ΗΜ.
ΙΩΑΝΝΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΟΛΥΒΟΤΟΥ:

13 Feb. *Joannes ep̃i Polibota*

✠ Μηνὶ τῷ αὐτῷ ιδ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν αὐξεντίου·

Αὐξέντιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν. ἦν ἐπὶ τῆς βασιλείας
θεοδοσίου τοῦ μικροῦ ἐκ τῆς ἀνατολῆς ὑπάρχων. ἦν δὲ σχο-
λάριος τὴν ἀξίαν· καταλιπὼν τὸν κόσμον· καὶ γενόμενος
μοναχός. ἀνῆλθεν εἰς τὸ ὄρος τὸ λεγόμενον τῆς ὀξείας
πλησίον χαλκηδόνος· καὶ ἡσύχασε· καὶ ἀπ' ἐκείνου ὠνο-
μάσθη τὸ ὄρος. τοῦ ἁγίου αὐξεντίου· ἦν δὲ τὴν ἄσκησιν
καρτερικώτατος· τὴν πίστιν ὀρθοδοξότατος· πολλὰ
ἀγωνισάμενος κατὰ τῆς αἱρέσεως. τοῦ εὐτυχοῦς καὶ τοῦ
νεστορίου· καὶ ἀποδεξάμενος τὴν ἐν χαλκηδόνι τετάρ-
την σύνοδον· ἐγένετο δὲ καὶ τοῖς βασιλεῦσιν αἰδέσιμος· καὶ
ἠγαπᾶτο καὶ ἐτιμᾶτο ὑπὸ πάντων. διὰ τὴν πολλὴν αὐτοῦ ἀρε-
τήν· ἠξιώθη δὲ καὶ θαυμάτων πολλῶν. καὶ προορατικῶν χα-
ρισμάτων· καὶ τιμωρίας μελλούσης ἐλθεῖν ἀπὸ τοῦ θεοῦ διὰ
τὰς ἁμαρτίας ἡμῶν. καὶ προεῖπε καὶ διὰ προσευχῆς ἔπαυ-
σεν· οὕτω δὲ βιώσας. ἐκοιμήθη· καὶ κατετέθη ἐν τῷ ὑπ' αὐτοῦ
κτισθέντι μοναστηρίῳ. ὅπερ τῆς τριχιναρίας ὀνομάζεται·

Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου Φιλήμονος
ἐπισκόπου Γάζης :·

Feb Philemonis in Gaza

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΟΝΗΣΙΜΟΥ. ΜΑΘΗΤΟΥ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ:

Ὁ ἅγιος ὀνήσιμος. ἐγένετο μαθητὴς τοῦ ἁγίου ἀποστόλου παύλου. δοῦλος γὰρ ὑπάρχων ῥωμαίου τινὸς ὀνόματι φιλήμονος. κατέλιπε τὸν ἴδιον κύριον. καὶ προσέδραμε τῷ ἀποστόλῳ παύλῳ. καὶ ἐγένετο αὐτοῦ μαθητής. καὶ βαπτισθεὶς ὑπ' αὐτοῦ. ἐδούλευεν αὐτῷ. διὰ τοῦτο καὶ ἔγραψε πρὸς τὸν φιλήμονα ὁ ἅγιος παῦλος ἐπιστολήν. παρακαλῶν αὐτὸν ὑπὲρ τοῦ ὀνησίμου. καὶ μετὰ τὴν τελευτὴν τοῦ ἁγίου παύλου. ἐκρατήθη παρὰ τερτύλλου τοῦ τῆς ῥώμης ἐπάρχου. καὶ ἀχθεὶς ἐν ποτιόλοις. διὰ ῥαβδίων ἐτύπτετο σφοδρῶς. ὡς δὲ οὐκ ἔπεισε τοῦτον ἀρνήσασθαι τὸν χν καὶ προσκυνῆσαι τοῖς εἰδώλοις. ἀλλὰ μετὰ παρρησίας ἔλεγεν. ὅτι πιστεύεις χν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. εἰς θυμὸν ἐκινήθη ὁ τέρτυλλος. καὶ συντρίβει τὰ σκέλη κατὰ μέτωπον. πρὸς χν ὁ μὲν θεῖος ἐξεδήμησεν:

402

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Παφνουτ(ίου)
καὶ τῆς ἁγίας Εὐφροσύνης τῆς θυγατρ(ὸς) αὐ(τοῦ) :·

✝ Τῇ αὐτῇ ἡμέρᾳ. ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαΐωρος·

Οὗτος στρατιώτης ὢν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ
καὶ Μαξιμιανοῦ· καὶ διαβληθεὶς ὅτι Χριστιανός ἐστι·
κρατηθεὶς ἐν Γάζῃ τῇ πόλει. ἠναγκάζετο θύειν τοῖς
δαίμοσιν· ὡς δὲ οὐκ ἐπείθετο· ἀλλὰ μᾶλλον μεγάλῃ
τῇ φωνῇ ἔλεγεν· ὅτι τῷ Χριστῷ μου πιστεύων· καταφρονῶ
τῶν ματαίων εἰδώλων. εἰς ὀργὴν πλείονα τοὺς κρα-
τοῦντας ἐκίνησεν· καὶ ἁπλωθεὶς ἐπὶ τὴν γῆν.
τύπτεται ἰσχυρῶς ὅλον τὸ σῶμα καὶ καταξαίνεται·
τριάκοντα στρατιωτῶν ἀλλαγέντων ἐν τῷ τύ-
πτεσθαι αὐτόν· καὶ ἀρθεὶς ἡμιθανής· ὡς μηδὲ ἀνθρώπῳ
ὁμοιάζειν ἐκ τοῦ αἵματος καὶ τῶν πληγῶν. ἐρρί-
φη ἐν τῇ φυλακῇ· μόνον ἐμπνέων· καὶ μετὰ ἑπτὰ
ἡμέρας· ἐκκληθεὶς τῆς φυλακῆς· πάλιν ἐτιμω-
ρήθη· καὶ μὴ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστόν. τῷ ἀ-
θέῳ προστάγματι τῶν τυράννων. ἀχθεὶς εἰς τὸν ὁρι-
σθέντα τόπον καὶ προσευξάμενος ἀπεκεφαλίσθη·

404

Μηνὶ τῷ αὐτῷ ιϛ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Παμφίλου· Οὐάλεντος καὶ τῆς συνοδίας αὐτῶν·

Οὗτοι χριστιανοὶ ὄντες· ἐκρατήθησαν ἐν τῷ ἕκτῳ ἔτει
τοῦ κατὰ Διοκλητιανὸν τὸν παράνομον βασιλέα. δι-
ωγμοῦ· ἐκ διαφόρων ὑπάρχοντες πόλεων· καὶ ἐ-
πιτηδευμάτων. καὶ ἀξιωμάτων· ἐκρατήθησαν
δὲ οὕτως· ἤρχοντο πρὸς Καισάρειαν· καὶ ὅτε ἔμελ-
λον τὰς πύλας τῆς πόλεως εἰσελθεῖν. ἠρωτήθη-
σαν παρὰ τῶν φυλασσόντων τὰς πύλας ὅτι τίνες εἰ-
εν. καὶ κατὰ ποίαν χρείαν εἰσῆλθον. οἱ δὲ [illegible]
ψεύδεσθαι μὴ εἰδότες· χριστιανοὺς ἑαυτοὺς ἀπεκά-
λεσαν· καὶ πατρίδα εἶπον τὴν ἄνω Ἱερουσα-
λήμ· καὶ [illegible] ἀλύσεσι. παρεδόθη-
σαν Φιρμιλιανῷ τῷ ἄρχοντι· καὶ ὁ μὲν Ἠλίας·
σὺν Ἱερεμίᾳ καὶ Ἡσαΐᾳ· καὶ Σαμουήλ· καὶ Δανιήλ·
μετὰ πολλὰς τιμωρίας ἀπεκεφαλίσθησαν· ὁ δὲ
Πάμφιλος· καὶ Σέλευκος· καὶ Οὐάλης· καὶ Παῦλος· εἰς φυ-
λακὴν ἐμβληθέντες πρῶτον. ὕστερον καὶ αὐτοὶ ἀπεκεφαλίσθησαν·

404 ☩ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Πορφυρίου, Ἰουλιανοῦ καὶ Θεοδούλου:

Καὶ οὗτοι οἱ ἅγιοι ἐκ τῆς τοιαύτης ἦσαν συνοδίας τῶν ἁγίων Παμφίλου καὶ Οὐάλεντος καὶ τῶν λοιπῶν. Καὶ ὁ μὲν ἅγιος Πορφύριος δοῦλος ὑπάρχων τοῦ ἁγίου Παμφίλου, καὶ ὅτι ἐζήτει τὸ λείψανον τοῦ κυρίου αὐτοῦ, τοῦ περιφήμου, θάψαι αὐτό, ἐκρατήθη· καὶ ἀναφθείσης καμίνου μεγάλης, ἐμβληθεὶς εἰς αὐτὴν καὶ ἐτελεύτησεν. Ὁμοίως καὶ ὁ ἅγιος Ἰουλιανὸς καταφιλῶν τὰ λείψανα τῶν ἁγίων, ἐπιάσθη· καὶ δεθεὶς ἐνεβλήθη καὶ αὐτὸς εἰς τὴν κάμινον, καὶ εὐχαριστῶν τῷ θεῷ παρέδωκε τὴν ψυχήν. Ὁ δὲ ἅγιος Θεόδουλος θρηνῶν τὴν στέρησιν τῆς συνοδίας αὐτοῦ, καὶ τὸν θεὸν παρακαλῶν ἵνα παύσῃ τὸν πικρὸν διωγμὸν τὸν κατὰ τῶν δούλων αὐτοῦ κινηθέντα, διεγνώσθη· καὶ κρατηθείς, πρῶτον μὲν ἐτιμωρήθη ἰσχυρῶς· ἔπειτα ἐπὶ σταυροῦ γυμνὸς κρεμασθείς, καὶ μακροῖς σιδηροῖς ἥλοις χεῖρας καὶ πόδας καθηλωθείς, μετὰ πολλῆς εὐχαριστίας παρέδωκε τὸ πνεῦμα:

15 Feb. Porphyrii Juliani et Theoduli Mar.

✝ Τῇ αὐτῇ ἡμέρᾳ, συνάθροισις καὶ μνήμη τῶν ἐν
Μαρτυροπόλει λειψάνων τῶν ἁγίων μαρτύρων. καὶ
Μαρουθᾶ τοῦ ἐπισκόπου.

Μαρουθᾶς ὁ ἁγιώτατος ἐπίσκοπος ὤν, ἀπεστάλη παρὰ
τοῦ μεγάλου Θεοδοσίου βασιλέως Ῥωμαίων πρεσβευτὴς
καὶ ἀποκρισιάριος, πρὸς τὸν βασιλέα Περσῶν· διὰ δὲ
τὴν ἀρετὴν αὐτοῦ, ἐτίμησαν αὐτὸν οἱ Πέρσαι καὶ ὑπε-
δέξαντο· καὶ μάλιστα ὅτι τὴν τοῦ βασιλέως θυγατέρα
δαιμονῶσαν οὖσαν, διὰ προσευχῆς ἐθεράπευσε· καὶ
πολλῶν χρημάτων διδομένων αὐτῷ, αὐτὸς ἄλλο οὐ-
δὲν ᾐτήσατο, εἰ μὴ λαβεῖν τὰ λείψανα τῶν ἐν τῇ Περσί-
δι μαρτύρων. καὶ θεῖναι εἰς ἕνα τόπον· καὶ ἐπένευσεν
ὁ Πέρσης· τότε ἔκτισε πόλιν ἐπ᾽ ὀνόματι τῶν μαρτύρων.
καὶ ὠνόμασεν αὐτὴν Μαρτυρόπολιν· ἥτις νῦν λέγεται
Μεφερκίν. καὶ ἀπέθετο ἐν αὐτῇ τὰ λείψανα τῶν ἁγίων
μαρτύρων· χρόνοις δὲ ὕστερον καὶ αὐτὸς ὁ ἅγιος Μαρου-
θᾶς, συγχωρήσει Θεοῦ νοσήσας, παρέδωκε τὸ πνεῦμα. καὶ
ταύτην τὴν ἡμέραν, καθ᾽ ἣν τῶν λειψάνων συνά-
θροισιν ἐποιήσατο, μεθ᾽ ὧν καὶ ἐτέθη τὸ τίμιον αὐτοῦ λείψανον.

Reliquiae Sanctorum Martyrum in Martyropoli et Marutha Ep.

407

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟ-
ΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΤΗΡΩΝΟΣ

Ὁ ἅγιος μεγαλομάρτυς Θεόδωρος ὁ τήρων ἦν ἐπὶ τῆς βασι-
λείας Μαξιμιανοῦ καὶ Μαξιμίνου. τῶν πικρῶν διωκτῶν·
γενόμενος στρατευθεὶς εἰς τὸ τάγμα τὸ λεγόμενον τηρώνων
καὶ τελῶν ὑπὸ Βρίγγαν τὸν πραιπόσιτον· ὑπάρχων δὲ ἀ-
πὸ τῆς ἐπαρχίας Ἀμασείας καὶ ἀκούων πολλοὺς βασανιζο-
μένους διὰ τὸν Χριστόν, ἐζήλωσε καὶ ἤθελε καὶ αὐτὸς μαρτυρῆ-
σαι· ἀπερχόμενος δὲ πρὸς τὸν Βρίγγαν εἰς Ἀμάσειαν· μαθὼν
ὅτι δράκων παμμεγέθης ἐστὶ πλησίον ἐν χαΐτῳ, ἐλογίσατο
καθ' ἑαυτὸν ὡς εἰ τὸν δράκοντα φονεύσω λαθών, νικήσω
τὸν διάβολον· ὅπερ καὶ ἐποίησε· καὶ ἀπελθὼν εἰς Ἀμάσειαν,
ἐνώπιον τοῦ Βρίγγα ὡμολόγησε τὸν Χριστόν· ὁ δὲ ἐκπλαγεὶς, ἔδω-
κεν αὐτῷ καιρὸν τοῦ σκέψασθαι· ὁ δὲ ἅγιος διὰ τῆς νυκτὸς
ἐνέπρησε τὸν ναὸν τῶν εἰδώλων· καὶ ὀργισθεὶς ὁ Βρίγγας, κα-
τεδίκασεν αὐτὸν πυρί· καὶ ᾗ μὲν ἐκεῖνος ἔκαυσε τὸν ναόν,
ἐμβληθεὶς ὁ ἅγιος εἰς κάμινον, ἠγωνίζετο· καὶ ἰδὼν Κλεόνικον τὸν φί-
λον αὐτοῦ πλησίον ἑστῶτα, εἶπε· Κλεόνικε περιμένω σε· καὶ οὕτως ἐτελειώθη.

17 Feb. Theodori Teronis Mart.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Μαριάμνης ἀδελφῆς τοῦ ἁγίου Φιλίππου τοῦ ἀποστόλου:

Μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ· περιαγόμενος ὁ ἅγιος
Φίλιππος μετὰ τοῦ ἁγίου Βαρθολομαίου· καὶ Μαριά
μνης τῆς γνησίας αὐτοῦ ἀδελφῆς εἰς Ἱεράπολιν· καὶ
διὰ τὸ κηρύξαι τὸν λόγον τοῦ Χριστοῦ· κρεμασθεὶς καὶ τελει
ωθείς. ηὔξατο πρὸς τὸν Θεὸν καὶ κατεχώσθησαν τῆς γῆς
χανούσης καὶ ὑποδεξαμένης αὐτούς. ὅ τε ἀνθύπατος καὶ
ὁ ὑπ' αὐτὸν λαός· οἱ δὲ λοιποὶ φοβηθέντες· παρεκάλε
σαν τὸν ἅγιον Βαρθολομαῖον καὶ τὴν ἁγίαν Μαριάμμην κρεμα
μένους καὶ αὐτοὺς ὄντας ἵνα μὴ καὶ αὐτοὶ καταποντι
σθῶσι. καὶ ἐδυσώπησαν αὐτοὶ τὸν ἅγιον Φίλιππον. καὶ οὐ
κατεποντίσθησαν αὐτοί· ἀλλὰ καὶ τοὺς καταποντισθέντας
ἐξήγαγε· τὸν δὲ ἀνθύπατον καὶ τὴν ἔχιδναν. ἀφῆκε κάτω·
τότε ἀπελύθησαν ὁ Βαρθολομαῖος καὶ ἡ Μαριάμμη· καὶ ὁ
μὲν Βαρθολομαῖος ἀπελθὼν εἰς Ἰνδίαν τὴν εὐδαίμονα,
σταυρωθεὶς τελειοῦται· ἡ δὲ ἁγία Μαριάμμη ἀπελθοῦσα εἰς Λυκαο
νίαν· καὶ κηρύττουσα τὸν λόγον τοῦ Χριστοῦ. ἐν εἰρήνῃ ἀπέθανεν·

409 ι. ✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Αὐξιβίου ἐπισκόπου Σολίων τῆς πόλεως Κύπρου.

Οὗτος ὥρμητο ἀπὸ τῆς παλαιᾶς Ῥώμης· εἰς τῶν Ἑλλήνων·
ἀκολουθήσας δὲ τῷ ἁγίῳ ἀποστόλῳ Μάρκῳ καὶ εὐαγγε-
λιστῇ· καὶ διδαχθεὶς παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας,
ἐβαπτίσθη καὶ ἐχειροτονήθη διάκονος· εἶτα πρεσβύτερος·
καὶ μετὰ τοῦτο, ἐπίσκοπος Σολίων τῆς πόλεως Κύπρου·
ὅπου καὶ ἀπελθὼν καὶ τὴν ἐκκλησίαν παραλαβὼν, οὐ
πρὸς τραπέζας ἐξέδωκεν ἑαυτὸν καὶ τρυφὰς ὥσπερ τι-
νές· ἀλλὰ πρὸς ἀγρυπνίας· πρὸς εὐχάς· πρὸς ξηροκοι-
τίας· πρὸς νηστείας· παρακαλῶν τὸν Θεὸν νυκτὸς
καὶ ἡμέρας· ἵνα ἐλεήσῃ τὸν λαὸν αὐτοῦ· καὶ στήσῃ
τὴν πλάνην τῶν κατὰ τῶν χριστιανῶν διωγμῶν·
καὶ ἵνα γνῶσι πάντες τὸ ὀρθῶς πιστεύειν. ἀρνή-
σωνται τὴν ἀσέβειαν· οὕτω ποιῶν· καὶ πολλοὺς
ἐπιστρέψας πρὸς Θεὸν ζῶντα· καὶ μυρίων θαυμά-
των ἀξιωθεὶς, ἐν εἰρήνῃ πρὸς Θεὸν ἐξεδήμησεν· εὐ-
φραινόμενος αἰωνίως σὺν τοῖς λοιποῖς ἁγίοις. +

17 Feb. Auxibij epi soliorum Cypri p. 1

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Φλαβιανοῦ.

Φλαβιανὸς ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν· ὑπῆρχε τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας πρεσβύτερος. καὶ διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν, θελήσει θεοῦ καὶ ψήφῳ τοῦ βασιλέως· καὶ τῆς συγκλήτου· καὶ τῆς ἱερᾶς συνόδου καὶ τοῦ κλήρου. χειροτονεῖται πατριάρχης τῆς αὐτῆς ἐκκλησίας· καὶ καλῶς τὴν καταπιστευθεῖσαν αὐτῷ ποίμνην διοικῶν· καὶ τὸν λαὸν τὰ πρὸς ἀρετὴν διδάσκων καὶ διεξάγων. συγχωρήσει θεοῦ ἐκβάλλεται παρὰ τοῦ αἱρετικοῦ Διοσκόρου καὶ τῶν ὁμοφρόνων αὐτοῦ· κρατήσας τῆς πατριαρχίας χρόνον ἕνα καὶ μῆνας δέκα. καὶ εἰς ἐξορίαν παραπέμπεται· ὅπου θλίψεις πολλὰς καὶ διαφόρους ὑπομείνας· καὶ κακώσεις μυρίας καρτερήσας· καὶ λιμὸν καὶ δίψαν. ὅμως εὐχαριστῶν τῷ θεῷ οὐκ ἐπαύετο νυκτὸς καὶ ἡμέρας προσευχόμενος· καὶ οὕτω πειραζόμενος ὑπὲρ τῆς ὀρθοδόξου πίστεως· ἀσθενήσας· πρὸς τὸν θεὸν προθύμως ἐξεδήμησεν.

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ. ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΡΣ ΗΜΩΝ Κ(ΑΙ) ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΑΓΑΠΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΥΝΑΔΟΥ·

ἅγιος πατὴρ ἡμῶν Ἀγαπητός. ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦ Ἑρκουλίου. ἀπὸ χώρας τῆς Καππαδοκίας· χριστιανῶν γονέων υἱός· ἀπῆλθε δὲ εἰς μοναστήριον καὶ ἐγένετο μοναχός· ἠγαπήθη δὲ παρὰ τοῦ ἡγουμένου διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν. καὶ ἐδιδάχθη καὶ τὰ ἱερὰ γράμματα· λαβὼν δὲ παρὰ θεοῦ καὶ θαυμάτων χάρισμα. δράκοντα μέγαν πλησίον τοῦ μοναστηρίου φανέντα καὶ ἀφανίζοντα καὶ ἀνθρώπους καὶ κτήνη. διὰ προσευχῆς ἐθανάτωσε· περὶ τούτου μαθὼν ὁ Λικίννιος ὅτι ἀνδρεῖος ἐστίν. ἀποστείλας ἤγαγεν αὐτόν. καὶ μὴ βουλόμενον στρατεύεσθαι· ἀλλ' ἐκείνου μὲν τελευτήσαντος· ἐπὶ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου· παρὰ τοῦ ἐπισκόπου Συνάδου, χειροτονεῖται πρεσβύτερος· καὶ μετὰ θάνατον τοῦ ἐπισκόπου. γίνεται ἐπίσκοπος Συνάδου· καὶ πολλὰ θαύματα ποιήσας, ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπεν·

18 Feb. *Agapiti ... Sinai*

ΚΕ

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πρς ἡμῶν Λέοντος πάπα τῆς μεγάλης Ῥώμης.

Ὁ θαυμάσιος οὗτος ἐπὶ [illegible]· διὰ τὴν πολλὴν αὐτοῦ ἀρετὴν καὶ σωφροσύνην καὶ καθαρότητα, ἐπίσκοπος προχειρίζεται τῆς μεγάλης Ῥώμης· καὶ διέπραξατο μὲν καὶ ἄλλα πολλὰ ἄξια τῆς ἐκείνου ἀρετῆς· ἐξαιρέτως δὲ τὸ περὶ τῆς ὀρθῆς πίστεως· κατὰ γὰρ τὸν καιρὸν ἐκεῖνον· σύνοδος συνεκροτήθη ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα πατέρων. κατὰ τῶν αἱρετικῶν τῶν λεγόντων ἐπὶ Χυ μίαν θέλησιν καὶ μίαν ἐνέργειαν· καὶ ἐπεὶ ἐδογμάτισαν τὴν ἀλήθειαν· οἱ δὲ αἱρετικοὶ οὐκ ἐπείθοντο. πᾶσιν ἤρεσεν ἵνα ὃ ἐὰν εἴπῃ Λέων ὁ σοφώτατος πάπας Ῥώμης· θελήσωσι· παρακληθεὶς οὖν ὑπὸ τῶν πατέρων· καὶ τὸν Θν δυσωπήσας· ἔγραψεν ἐπιστολήν. ἑρμηνεύουσαν τὴν ἀλήθειαν· καὶ τὴν ὀρθοδοξίαν [illegible] ὀνομάσασαν· δύο θελήσεις καὶ δύο ἐνεργείας ἐπὶ Χυ κηρύττουσαν· ὁ δὲ μακάριος Λέων τὸ μετὰ ταῦτα καλῶς ποιμάνας, ἐν εἰρήνῃ ἐτελεύτησεν.

Feb. [illegible]

✠ Μηνὶ τῷ αὐτῷ ιθ΄. ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου καὶ Θεοδότου ∻

Μάξιμος καὶ Θεόδοτος οἱ τοῦ Χ(ριστο)ῦ μάρτυρες· περιπατοῦντες κατὰ πᾶσαν πόλιν καὶ χώραν. μετὰ παρρησίας ἐκήρυττον τὴν ἀλήθειαν· καὶ τὸν Χ(ριστὸ)ν ὡμολόγουν θ(εὸ)ν εἶναι ἀληθινὸν καὶ κ(ύριο)ν τοῦ παντὸς καὶ δημιουργὸν τοῦ κόσμου· τὰ δὲ εἴδωλα χειρῶν ἔργα καὶ τέχνης πλάσματα. διὰ λίθων καὶ ξύλων κατεσκευασμένα· διὰ τοῦτο ἐκρατήθησαν παρὰ τῶν εἰδωλολατρῶν. Καὶ παρεδόθησαν τῷ ἄρχοντι τῆς χώρας· καὶ ὑπ' ἐκείνου ἐβιάσθησαν ἰσχυρῶς· ἀρνήσασθαι τὸν Χ(ριστὸ)ν καταναγκαζόμενοι. καὶ προσκυνῆσαι τοῖς εἰδώλοις· ὡς δὲ οὐκ ἐπείθοντο· ἐσύροντο δέσμιοι ἀπὸ πόλεως εἰς πόλιν. καὶ ἐθηριομάχουν· εἶτα ἐξέσθησαν μετὰ σιδηρῶν ὀνύχων· καὶ τέλος καμίνου μεγάλης ἀναφθείσης, ἐνεβλήθησαν χαίροντες εἰς αὐτήν· καὶ εὐχαριστοῦντες παρέδωκαν τὰς ἁγίας καὶ μακαρίας αὐτῶν ψυχὰς τῷ κ(υρί)ῳ∙

19 Feb. Maximi et Theodoti Mrr

414

Μηνὶ τῷ αὐτῷ κʹ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαδὼχ ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ ἑκατὸν εἰκοσιοκτὼ ἁγίων.

Ὁ ἅγιος Σαδὼχ ἦν ἐπίσκοπος ἐν Περσίδι· διδάσκων δὲ τὸν λαὸν τὴν εἰς Χριστὸν πίστιν· καὶ πολλοὺς πείθων προσέρχεσθαι τῷ ζῶντι καὶ ἀληθινῷ Θεῷ. εἰς θυμὸν καὶ μανίαν πικρὰν ἐκίνησε τοὺς πυρσολάτρας μάγους· καὶ βουλευομένων ἐκείνων ἀποκτεῖναι καὶ καταργῆσαι τὸν ἅγιον. ὁρᾷ καθ' ὕπνους τὸν πρὸ αὐτοῦ ἐπίσκοπον τὸν ἱερομάρτυρα Συμεών· ἱστάμενον εἰς μακρὰν σκάλαν. καὶ καλοῦντα αὐτὸν ἀνελθεῖν πρὸς αὐτόν· λέγοντα ὅτι καλεῖ σε ὁ βασιλεὺς τῶν βασιλευόντων· τοῦτο δὲ ἐδήλου. τὴν διὰ τοῦ μαρτυρίου ἀνάβασιν· ὡς δὲ ταῦτα διηγεῖτο ὁ ἅγιος· ἀποστείλαντες οἱ μάγοι ἐκράτησαν αὐτὸν καὶ τοὺς σὺν αὐτῷ ὄντας χριστιανούς. καὶ ἔβαλον εἰς φυλακήν· καὶ ἀναγγείλαντες περὶ αὐτῶν Σαβωρίῳ τῷ βασιλεῖ Περσῶν. ἐξέβαλον αὐτοὺς τῆς φυλακῆς καὶ ἐτιμωρήσαντο ἰσχυρῶς· καὶ τελευταῖον ἀπεκεφάλισαν ἅπαντας.

414

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ. ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΡΣ ΗΜΩΝ
ΣΩΦΡΟΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ :·

21 Feb. Sophronii Ep. :

416

Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λέοντος ἐπισκόπου Κατάνης τῆς ἐν Σικελίᾳ +

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Λέων ὁ θαυματουργός· ἦν μὲν ἀπὸ τῆς
πόλεως Ῥαβέννης· εὐγενῶν καὶ εὐσεβῶν γονέων υἱός·
καὶ μαθὼν τὴν ἱερὰν πᾶσαν γραφήν· καὶ γενόμενος
ἐνάρετος· ὡς καὶ θαύματα ποιεῖν· χειροτονεῖται
πρεσβύτερος τῆς ἐν Ῥαβέννῃ ἐκκλησίας· εἶτα γίνε-
ται καὶ ἐπίσκοπος τῆς μητροπόλεως Κατάνης· το-
σοῦτον δὲ ἠγωνίσατο κατὰ τῶν αἱρετικῶν, ὥστε νική-
σαι πάντας καὶ καταισχῦναι οὐ μόνον λόγοις, ἀλλὰ
γραφικαῖς ἀποδείξεσιν· ἦν δὲ καὶ θαυματουργός.
Καὶ γὰρ τὸν Ἡλιόδωρον πολλοῖς ταῖς μαγείαις πλα-
νῶντα, διὰ προσευχῆς πυρὶ κατέκαυσε· καὶ χλευά-
ζοντα πάντα δύνασθαι καὶ μηδὲ πῦρ φοβεῖσθαι· πε-
ρὶ τούτου τοῦ ἁγίου καὶ οἱ βασιλεῖς Ῥωμαίων ἀκούσαν-
τες, ἐθαύμασαν· καὶ προσκαλεσάμενοι αὐτόν, ἠξίουν εὔξα-
σθαι ὑπὲρ αὐτῶν· καὶ τυχόντες τῶν ἐκείνου εὐχῶν, μετὰ τιμῆς
ἀπέλυσαν· ἀπελθόντα δὲ εἰς τὴν ἰδίαν ἐκκλησίαν, προσελάβετο ὁ Κ(ύριο)ς :·

20. Feb Leonis ep. Catanae in Sicilia

117

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ. ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΡΣ ΗΜΩΝ ΑΓΑΘΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ ΡΩΜΗΣ

Καὶ οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν καὶ θαυματουργὸς Ἀγάθων.
ἐκ τῆς Ἰταλίας ὥρμητο· υἱὸς χριστιανῶν γονέων· εὐγενῶν
καὶ εὐσεβῶν· οἱ δὲ γονεῖς αὐτοῦ φιλοπονήσαντες ἐδί-
δαξαν αὐτὸν πᾶσαν γραφὴν θεόπνευστον καὶ ὠφέ-
λιμον· τοσοῦτον γὰρ ὠφελήθη παρὰ τῆς θείας γρα-
φῆς καὶ κατενύγη. ὥς μετὰ τὸ ἀποθανεῖν τοὺς γονεῖς
αὐτοῦ· συνάξαι πάντα τὸν πλοῦτον αὐτοῦ· καὶ προσ-
κα[illegible]σθαι πτωχοῖς· καὶ ἐν μιᾷ ἡμέρᾳ διασκορπίσαι
αὐτόν· αὐτὸς δὲ ἀπελθὼν καὶ γενόμενος ἐν ἡσυχίᾳ
εἰς μοναστήριον· καὶ τὸ μοναχικὸν σχῆμα φορέσας· ἐ-
δούλευε τῷ Θεῷ· νυκτὸς καὶ ἡμέρας ὑπὲρ τοῦ κόσμου
προσευχόμενος· τοσοῦτον δὲ ἠγωνίσατο εἰς ἀρετήν.
ὡς καὶ τὸ χάρισμα λαβεῖν τοῦ θαυματουργεῖν· ἐπεὶ
δὲ ἡ ἀρετὴ οὐ λανθάνει. γνόντες καὶ πάντες ῥωμαῖοι·
καὶ καλῶς διαπρέψας ἐν τῷ ἐπισκοπικῷ ἀξιώματι·
καὶ πολλοῖς ἀγαθὸν ὑπόδειγμα τὸν ἑαυτοῦ βίον λιπών. ἐκοιμήθη:-

μηνὶ τῷ αὐτῷ κβ΄· μνήμη τοῦ ἁγίου Ἀθανασίου τοῦ ὁμολογητοῦ:

22 Feb Atanasij confessoris

c. 19

Μηνὶ τῷ αὐτῷ κγʹ. ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πολυκάρπου, ἐπισκόπου Σμύρνης +

πενώ

Πολύκαρπος ὁ ἁγιώτατος, μαθητὴς ἦν τοῦ ἁγίου ἀποστόλου
καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου· χειροτονεῖται δὲ
ἐπίσκοπος εἰς Σμύρναν. μετὰ τὸ τελευτῆσαι Βουκόλον
τὸν ἱερώτατον ἐπίσκοπον· καὶ γὰρ ἔτι ζῶν ὁ Βουκόλος,
προεφήτευσε περὶ αὐτοῦ, ὅτι αὐτὸς μέλλει γενέσθαι δεύτε-
ρος ἐπίσκοπος Σμύρνης· ὑπάρχοντος δὲ διωγμοῦ κα-
τὰ τῶν χριστιανῶν παρὰ Δεκίου τοῦ βασιλέως· ἐκρα-
τήθη καὶ προσηνέχθη τῷ ἀνθυπάτῳ· καὶ μετὰ πολλὰς
βασάνους ἐτελειώθη· ἐποίησε δὲ θαύματα πολλά· ἔτι
γὰρ πρὸ τοῦ χειροτονηθῆναι. τῆς ἀναθρεψάσης αὐτὸν
γυναικὸς τὰς ἀποθήκας· προσευξάμενος ἐγέμισε
παντὸς ἀγαθοῦ· τὰς πρότερον κενωθείσας, εἰς τὴν
τῶν πενομένων χρείαν· καὶ μετὰ τὸ χειροτονηθῆναι,
μέγαν ἐμπρησμὸν διὰ προσευχῆς ἔσβεσε· καὶ ἀνομβρί-
ας γενομένης· ὑετὸν κατήγαγε· καὶ ἄλλα πολλὰ παρά-
δοξα Θεοῦ χάριτι ποιήσας· ἐκοιμήθη θαυματουργῶν ἕως τέλους·:

23 Feb Polycarpi Epi smirne Mart

Μηνὶ τῷ αὐτῷ κδ΄. Ἡ ἀνάμνησις τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.

Ὅτε ἀπεκεφαλίσθη ὑπὸ Ἡρῴδου ὁ ἅγιος Ἰωάννης ὁ πρόδρομος, ἐπαρθεῖσα ἡ κεφαλὴ αὐτοῦ εἰς ἀγγεῖον ὀστράκινον, καὶ ἐτέθη ἐν τῇ οἰκίᾳ τοῦ Ἡρῴδου. μετὰ δὲ χρόνους πολλούς, δύο μοναχοὶ ἀπελθόντες εἰς Ἱεροσόλυμα τοῦ προσκυνῆσαι τὸν τοῦ Κυρίου τάφον, ἐφάνη κατ' ὄναρ ὁ ἅγιος Ἰωάννης μηνύων αὐτοῖς ποῦ κεῖται ἡ τιμία κεφαλὴ αὐτοῦ· καὶ εὑρόντες αὐτήν, εἶχον ἐν τιμῇ. ὕστερον δὲ ἀμελῶς ἔλαβεν αὐτὴν κεραμεύς τις· καὶ ἤγαγεν εἰς τὴν Ἐμεσηνῶν πόλιν. ὅτε δὲ ἐτελεύτησε, κατέλιπεν αὐτὴν τῇ ἰδίᾳ ἀδελφῇ· καὶ ἐκ τούτου κατὰ διαδοχὴν περιῆλθεν εἰς πολλούς. ἐπὶ δὲ τῆς βασιλείας Μιχαὴλ τοῦ ποιήσαντος τὴν ὀρθοδοξίαν, καὶ Ἰγνατίου πατριάρχου, ἀπεκομίσθη ἐν χάριτι εἰς Κωνσταντινούπολιν· καὶ ἀπετέθη μετὰ μεγάλης τιμῆς ἐν αὐτῇ, ὡς καὶ τὰ λοιπὰ πάντα ἅγια· καὶ τὰ τῶν ἁγίων λείψανα, εἰς σκέπην καὶ ἀσφάλειαν αὐτῆς.

✠ Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τοῦ ἁγίου Ῥηγίνου, ἐπισκόπου Σκοπέλων.

Ὁ ἅγιος ἱερομάρτυς Ῥηγῖνος, ἐγένετο ἀπὸ τῆς χώρας Ἑλ-
λάδος· γονέων Χριστιανῶν υἱός. Καὶ μαθὼν ὑπ' αὐτῶν
τὴν εὐσέβειαν καὶ τὰ ἱερὰ γράμματα, ἐγένετο ἐνά-
ρετος καὶ φοβούμενος τὸν Θεόν· καὶ διὰ τὴν ἀρετὴν αὐ-
τοῦ καὶ τὴν πολλὴν εὐσέβειαν, παρ' αὐτοῦ κατὰ τὸν
τόπον ἐπισκόπου γίνεται διάκονος τῆς ἐν τῇ Ἑλλά-
δι ἐκκλησίας· εἶτα πρεσβύτερος· εἶτα καὶ ἐπίσκο-
πος Σκοπέλων· τοσοῦτον δὲ ἐγένετο εἰς ἀρετὴν προ-
ϊόντος, ὡς καὶ εἰς τὴν ἐν Σαρδικῇ σύνοδον προσκλη-
θῆναι καὶ παραγενέσθαι. καὶ παύσας τὰς αἱρέσεις
διὰ τοῦ λόγου αὐτοῦ καὶ τῆς παρρησίας ἀφανίσας· εἶ-
τα ὑποστρέφεται εἰς τὴν ἰδίαν ἐπισκοπήν· Καὶ μετὰ
τοῦτο διωγμοῦ κινηθέντος κατὰ τῶν Χριστιανῶν,
ἐκρατήθη παρὰ τοῦ τῆς Ἑλλάδος ἄρχοντος· Καὶ
μετὰ τὸ πολλὰ βασανισθῆναι καὶ τιμωρηθῆναι,
διὰ ξίφους τὴν ἱερὰν αὐτοῦ κεφαλὴν ἀπετμήθη.

2-4 Feb Regini Epi Scopulorum

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΑΛΕΞΑΝΔΡΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ ΕΝ ΤΗ ΘΡΑΚΗ

Οὗτος ἦν ἐκ Ποτιόλων, μιᾶς τῶν εἰς Ῥώμην πόλεων. ἐπὶ
Μαξιμιανοῦ τοῦ βασιλέως. καὶ Τιβεριανοῦ ἡγεμόνος.
κρατηθεὶς δὲ παρὰ τοῦ ἡγεμόνος, ἠναγκάζετο προσ-
κυνῆσαι τοῖς εἰδώλοις. ὁ δὲ ἅγιος ἀντὶ τοῦ προσκυνῆ-
σαι τοῖς εἰδώλοις, μᾶλλον ὕβρισε καὶ αὐτὰ καὶ τὸν ἡγε-
μόνα. εἰπὼν πρὸς αὐτὸν ὅτι καὶ αὐτὰ μάταιά εἰσι καὶ
σὺ ὁ πιστεύων εἰς αὐτὰ ἄθλιος καὶ ταλαίπωρος. διὰ
τοῦτο δεθεὶς ἐξ ἀμφοτέρων χειρῶν καὶ ἐκρεμάσθη. καὶ
εἰς τοὺς πόδας αὐτοῦ προσεδέθη λίθος μέγας. καὶ
μετὰ τοῦτο λυθεὶς καὶ ἀπαχθεὶς ἐν Καρθαγέννῃ,
πάλιν μεμαστιγωθεὶς ἐξέσθη. καὶ πάλιν ἀχθεὶς εἰς
Μαρκιανούπολιν, μετὰ λαμπάδων πυρὸς τὸ πρό-
σωπον ἐκάη. καὶ ἄλλας πολλὰς βασάνους καὶ τι-
μωρίας ἀνδρείως διὰ Χριστὸν μάρτυς ὑπομείνας, ἐν τῇ
Θρᾴκῃ ἀπελθὼν, ἀπεκεφαλίσθη. ἀπολαβὼν τὸν στέ-
φανον ἄφθαρτον καὶ ζωὴν αἰώνιον παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

723 Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλ(εως)·

Ταράσιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν· ἐγένετο τῆς Κωνσταντινου-
πόλεως. καὶ γέννημα καὶ θρέμμα· τὴν ἀξίαν ἀση-
κρῆτις· ἀλλὰ διὰ τὴν γνῶσιν καὶ τὴν ἀρετὴν αὐτοῦ.
χειροτονεῖται πατριάρχης Κωνσταντινουπόλεως·
ὅστις καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν ἐ-
δογμάτισε· καὶ δι' αὐτοῦ ἡ βασίλειος ἀρχὴ καὶ ἡ Ῥω-
μαϊκὴ ἐξουσία. πρὸς τὰς παραδόσεις τῶν ἁγίων ἀ-
ποστόλων· καὶ τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων. ἐ-
πανῆλθε· καὶ πᾶσαι αἱ ἐκκλησίαι. τοῖς ὀρθοδό-
ξοις συνηνώθησαν· ζήσας δὲ οὕτως εὐσεβῶς· καὶ
τοῖς βασιλεῦσι τίμιος γενόμενος· καὶ μοναστήριον
ἱερὸν ἐν τῷ πέραν τοῦ στενοῦ οἰκοδομήσας καὶ πλῆ-
θος μοναστῶν συστησάμενος· καὶ τοὺς πτωχοὺς ἐλε-
ήσας· καὶ καλῶς κυβερνήσας τὴν ἐκκλησίαν
ἔτη εἰκοσιδύο καὶ μῆνας δύο. ἐν εἰρήνῃ ἐτε-
λειώθη· καὶ κατετέθη ἐν τῷ αὐτῷ μοναστηρίῳ·

25 Feb. Tarasii Archiepi Constantinop. p. n.

424

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΣ. ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΠΟΡΦΥΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ.

Ὁ ἅγιος Πορφύριος ὥρμητο ἀπὸ τῆς πόλεως Θεσσαλο-
νίκης, υἱὸς γονέων πλουσίων. καταλιπὼν δὲ καὶ
γονεῖς καὶ πλοῦτον, ἐπὶ τῆς βασιλείας Ἀρκαδίου,
ὁ [illegible] ἀπῆλθεν εἰς Αἴγυπτον καὶ γίνεται μοναχός.
εἶτα ἀπελθὼν εἰς Ἱεροσόλυμα, ἔνθα Ἰουδαῖοι καὶ
ἕλληνας, προσέρχεται τῷ Χ(ριστ)ῷ· σμίλην μετὰ χειρίζο-
μενος καὶ δέρματα ῥάπτων. καὶ τρέφων καὶ ἑαυτὸν
καὶ τοὺς πένητας. εἶτα χειροτονεῖται πρεσβύτερος
ὑπὸ Πραϋλίου πατριάρχου Ἱεροσολύμων. καὶ τῶν
Γαζαίων ζητησάντων αὐτόν, χειροτονεῖται ἐπίσκο-
πος ὑπὸ Ἰωάννου ἀρχιεπισκόπου Καισαρείας τῆς
Φιλίππου. καὶ πλεῖστα θαύματα ποιήσας, πολλοὺς
τῶν ἑλλήνων καὶ τῶν Ἰουδαίων [illegible]. καὶ πάν-
τας τοὺς ναοὺς τῶν εἰδώλων καταστρέψας, ἐκκλη-
σίας ἁγίων ἔκτισε. καὶ οὕτω καλῶς ποιμάνας, πρὸς
θεὸν ἐξεδήμησε, κληρονομήσας τὴν αἰώνιον ζωήν.

τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Στεφάνου τοῦ κτησαμένου τὸ γηρωκομεῖον τοῦ Ἁρματίου·

6 Feb Stefani conservatoris Gerocomii [illegible]

ξη

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ. ΜΝΗΜΗ ΠΡΟΚΟΠΙΟΥ ΚΑΙ ΒΑΣΙΛΕΙΟΥ ΤΩΝ ΟΜΟΛΟΓΗΤΩΝ ΤΩΝ ΣΥΝΑΘΛΩΝ ΚΑΙ ΣΥΜΜΑΘΗΤΩΝ:

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ εἰκονο-
μάχου· καταλιπόντες δὲ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ, γέ-
νονται μοναχοί· καὶ καλῶς ἀσκήσαντες πρότερον. ὕστερον
τῆς αἱρέσεως τῆς κατὰ τῶν ἁγίων εἰκόνων κινηθείσης, σ-
πουδαίως ἀντετάξαντο τοῖς εἰκονομάχοις· ὅθεν καὶ κρα-
τηθέντες· καὶ πολλὰ τιμωρηθέντες· οὐκ ἐνέδωκαν·
ἀλλὰ τὴν ἀλήθειαν ἐκήρυττον μέχρι θανάτου· διὸ καὶ
ἐξεδύθη ὁ ἅγιος Βασίλειος τὸ σῶμα πᾶν καὶ τὸν τράχηλον.
Καὶ τῇ φυλακῇ παρεδόθη· ἀπεκλείσθη δὲ καὶ ὁ ἅγιος
Προκόπιος· τοῦ δὲ τυράννου τελευτήσαντος. ἀπελύ-
θησαν· καὶ ἐκ τῆς φυλακῆς ἐξελθόντες, τὴν ὁμοίαν
ἐπεμελοῦντο διαγωγήν· καὶ πολλοὺς πρὸς ἀρετὴν
ἐπαλείφοντες· καὶ πρὸς τὴν ὀρθόδοξον πίστιν ἐπα-
νάγοντες· ἐν διαφόροις καιροῖς ἕκαστος. πρὸς τὸν θεὸν
ἐκ [illegible] ἐκοιμήθησαν ἐξεδήμησαν· ἀγαθὸν ὑπόδειγμα
καταλιπόντες πολλοῖς τὸν ἐνάρετον βίον αὐτῶν:·

 Procopij, et Basilij confessorum commartirum et condiscipulorum

✠ ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡ-
ΤΥΡΟΣ ΝΕΣΤΟΡΟΣ·

Ὁ ἅγιος μάρτυς Νέστωρ· ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Δε-
κίου τοῦ παρανόμου καὶ ἀδικωτάτου βασιλέως· καὶ
Πουπλίου ἡγεμόνος· ἐκ τῆς πόλεως Πέργης τῆς
Παμφυλίας· χριστιανῶν μὲν γονέων ὑπάρχων υἱός·
καὶ ὑπ' αὐτῶν τὰ ἱερὰ γράμματα μαθών· ἐπεστόμι-
ζε τοὺς Ἕλληνας ἐκ τῶν θείων γραφῶν· καὶ πολλοὺς
ἐπὶ τὸν Θεὸν ἐπιστρέφων ἐβάπτιζεν· διαβληθεὶς
δὲ, ἐκρατήθη παρὰ τοῦ ἄρχοντος εἰρηνάρχου·
καὶ ἤχθη πρὸς τὸν ἡγεμόνα· καὶ ὁμολογήσας ἐ-
νώπιον αὐτοῦ τὸν Χριστὸν Θεὸν ἀληθινὸν καὶ δημιουργὸν
τοῦ κόσμου· πρῶτον μὲν τύπτεται ἰσχυρῶς· ἔπει-
τα ξέεται· καὶ τελευταῖον ὡς οὐκ ἐπείθετο ἀρνή-
σασθαι τὸν Χριστόν, προσηλοῦται σταυρῷ· καὶ κρεμά-
μενος, ἐδίδασκε τοὺς παρεστῶτας τὴν ὁδὸν τῆς
ἀληθείας· καὶ οὕτω διδάσκων τοὺς παρεστῶτας
καταφρονεῖν τῆς παρούσης ζωῆς, ἐξέπνευσεν·

28 Feb. Nestoris Mart.

κη

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θαλελαίου·

Οὗτος ὁρμώμενος ἀπὸ Κιλικίας, τὴν ἀσκητικὴν δὲ
πολιτείαν ἀγαπήσας, τὴν πόλιν κατέλαβε Γαβάλων·
καὶ εὑρὼν τόπον τινὰ πλησίον τῆς πόλεως, ὅς τις καὶ
οἰκητήριον ἦν δαιμόνων, ἐν αὐτῷ ἔκτισε μικρὰν οἰ-
κίαν· καὶ τοὺς δαίμονας ἀποδιώξας, ἐν ταύτῃ οἰκία
τὸν Θεὸν ἱκέτευε, νηστείαις καὶ ἀγρυπνίαις καὶ ξηρο-
κοιτίαις καὶ κακουχίαις σαρκὸς ἑαυτὸν καταδα-
πανῶν· ἰδόντες δὲ οἱ δαίμονες τὴν ἀρετὴν αὐτοῦ, ἐ-
πειράθησαν ἐκφοβῆσαι αὐτόν· οὐκ ἠδυνήθησαν
δέ· διὰ γὰρ προσευχῆς, ἐποίει αὐτοὺς ἀφάντους· ἐ-
πότε ἐμάνησαν, καὶ ἤρξαντο ἀνασπᾶν τὰ δένδρα·
τὰς ἐλαίας καὶ τὰς συκᾶς· ἐπεὶ δὲ οὐδὲ εἰς τοῦτο
παρεκίνησαν τὸν ἅγιον, διὰ τῆς νυκτὸς μετὰ φωνῶν
καὶ θορύβου ἐπῆλθον αὐτῷ· καὶ μηδὲν ἀμύναντες, ὑ-
πεχώρησαν· αὐτὸς δὲ ἔγκλειστρον ἑαυτὸν ποιήσας καὶ
εἰσελθὼν ἐν αὐτῷ, τὸν ὅλον βίον αὐτοῦ διετέλεσεν·

420 ✠ Τῇ αὐτῇ ἡμέρᾳ. μνήμη τῶν ὁσίων γυναικῶν
Μαράνας καὶ Κύρρας·

Ἅγιαι αὗται. ἐγένοντο ἐκ τῆς πόλεως Βεροίας τῆς Κιλικί-
ας· καταλιποῦσαι δὲ καὶ γένος καὶ πατρίδα καὶ πλοῦ-
τον. ἀπῆλθον πλησίον Βεροίας· καὶ ἔκτισαν κελλίον
μικρόν· καὶ εἰσελθοῦσαι ἔσω. ἀνέκτισαν τὴν θύραν με-
τὰ πηλοῦ καὶ λίθων. καὶ ἀφῆκαν θυρίδα μικράν· ἀφ' ἧς
καὶ τροφὴν ἐλάμβανον καὶ ὕδωρ ὀλίγον ἐλάμβανον. καὶ ταῖς
προσερχομέναις αὐταῖς γυναιξὶ συνετύγχανον. διὰ
[illegible] αὐτὰς τὰ προσάρβεια· ἐφόρουν δὲ καὶ σίδη-
ρα. κατὰ ὅλου τοῦ σώματος· καὶ διελάλουν ταῖς
γυναιξὶν. ἐν τῇ ἡμέρᾳ μόνῃ τῆς πεντηκοστῆς· τὸν
δὲ λοιπὸν ἐνιαυτὸν. ἐν ἡσυχίᾳ διῆγον· ἤσθιον δὲ καὶ ἐσθί-
ον. κατὰ τεσσαράκοντα ἡμέρας μίαν· οὕτω δὲ κα-
λῶς καὶ εὐαρέστως ζήσασαι. ἠξιώθησαν καὶ χαρι-
σμάτων θαυματουργίας· καὶ γὰρ τυφλοὺς ἀναβλέψαι
ἐποίησαν· καὶ δαιμονῶντας ἐθεράπευσαν· καὶ χω-
λοῖς καὶ ἀδιάζειν ὀρθῶς ἐχαρίσαντο· καὶ οὕτως ἐτελειώθησαν·

28

Feb. Marana, et Cyra ...